Ἐρώτηση

Ἐὰν ὅμως μὲ βρεῖ νὰ κάθομαι ἢ καὶ νὰ ἐργάζομαι καὶ καθίσει μαζί μου, ἢ θελήσει νὰ συνομιλήσουμε, τί νὰ κάνω;

---

70. Σοφ. Σειρ. 35,19.

***Ἀπόκρισις** Ἰωάννου.*

Ἐὰν εὕρῃ σε πούποτε καθήμενον καὶ ἔλθῃ, εὐλογήθητι παρ' αὐτοῦ, καὶ τὸ αὐτὸ ποίησον. Καὶ εἰπὲ αὐτῷ, 'εὖξαι ὑπὲρ ἐμοῦ'· καὶ σχεδὸν χερσὶν ἐὰν κρατήσῃ σε εἰπὲ αὐτῷ· 'συγχώρησόν μοι, ὅτι ἐντολὴν ἔχω μὴ λαλῆσαί τινι ἄνευ γνώμης τοῦ ἀββᾶ· ἀλλὰ λέγω αὐτῷ, καὶ εἴ τι λέγει μοι ποιῶ'. Ἐὰν δὲ καὶ ἐργαζομένου σου ἔλθῃ τις καὶ καθίσῃ, ὡς ἔχων ἐντολήν, φέρε σεαυτῷ πρόφασιν καὶ ἀνάστα.

ΤΙΑ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Καὶ τί ἐστιν ὃ λέγει ὁ ἀββᾶς Ἠσαΐας ὅτι, 'μετὰ τὸν ἀσπασμὸν τοῦ ξένου, ἐρώτησον αὐτόν, πῶς ἔχεις, καὶ οὕτω σιώπα μετ' αὐτοῦ καθήμενος';

Ἀπόκρισις

Τὸ δέξασθαι ξένον καὶ μετὰ τὸν ἀσπασμὸν ἐρωτῆσαι αὐτὸν πῶς ἔχεις, καὶ τοῦ λοιποῦ καθίσαι μετ' αὐτοῦ σιωπῶντα, ἔγραψας ὅτι ὁ ἀββᾶς Ἠσαΐας εἶπε τοῦτο· ἀλλὰ γέροντι ἐρρέθη προβεβηκότι καὶ τῇ ἡλικίᾳ καὶ τῷ μέτρῳ· ὁ δὲ ἀκριβὴς μαθητής, καὶ ἐπιποθῶν γενέσθαι μοναχός, φυλάττει ἑαυτὸν ἀπὸ τῶν τοιούτων συντυχιῶν. Γεννῶνται γὰρ ἐξ αὐτῶν καταφρονήσεις, χαυνότης, ἀνυποταξία καὶ ἡ δεινὴ παρρησία. Φησὶ δέ που ὅτι 'Ἰωάννης εἰς ταῦτα οὐ σχολάζει'· καὶ τοῦτό ἐστι τὸ ἀμεριμνῆσαι ἀπὸ παντὸς ἀνθρώπου.

ΤΙΒ'

Ἐρώτησις

Ὁ λογισμὸς λέγει μοι· 'κόψον ἐφάπαξ τὰς συντυχίας καὶ

Ἀπόκριση Ἰωάννη.

Ἐὰν σὲ βρεῖ νὰ κάθεσαι κάπου καὶ ἔρθει, ζήτησε εὐλογία ἀπ' αὐτὸν καὶ κάνε καὶ σὺ τὸ ἴδιο. Καὶ πές του, 'προσευχή σου γιὰ μένα', καὶ ἐὰν σὲ κρατήσει σχεδὸν μὲ τὰ χέρια, πές του· 'συγχώρησέ με, διότι ἔχω ἐντολὴ νὰ μὴ μιλήσω σὲ κανένα χωρὶς τὴ γνώμη τοῦ ἀββᾶ· θὰ τὸν ἐρωτήσω λοιπὸν καὶ ὅ,τι μοῦ πεῖ θὰ κάνω'. Ἐὰν πάλι, ἐνῶ ἐργάζεσαι, ἔρθει κάποιος καὶ καθίσει, βρὲς μιὰ πρόφαση, ὅτι τάχα ἔχεις ἐντολή, καὶ σήκω.

311

Ἐρώτηση τοῦ ἰδίου.

Καὶ τί σημαίνει ἐκεῖνο ποὺ λέγει ὁ ἀββᾶς Ἠσαΐας, ὅτι μετὰ τὸν ἀσπασμὸ τοῦ ξένου, ρώτησέ τον, 'πῶς εἶσαι', καὶ ἔπειτα νὰ σιωπᾶς καθήμενος μαζί του;

Ἀπόκριση

Ἔγραψες ὅτι ὁ ἀββᾶς Ἠσαΐας εἶπε, ὅταν δεχθεῖς ξένο, μετὰ τὸν ἀσπασμὸ νὰ τὸν ἐρωτήσεις, 'πῶς εἶσαι', καὶ νὰ καθίσεις ἔπειτα μ' αὐτὸν σιωπηλός· ἀλλ' αὐτὸ λέχθηκε γιὰ γέροντα προχωρημένο στὴν ἡλικία καὶ στὸ μέτρο· ὁ προσεκτικὸς μαθητὴς ὅμως καὶ αὐτὸς ποὺ ἐπιθυμεῖ νὰ γίνει μοναχός, προφυλάγει τὸν ἑαυτό του ἀπὸ αὐτὲς τὶς συναντήσεις. Διότι ἀπὸ αὐτὲς γεννιένται περιφρονήσεις, χαυνότητα, ἀνυποταξία καὶ ἡ φοβερὴ παρρησία. Λέγει κάπου ὅτι ὁ Ἰωάννης δὲν ἀσχολεῖται μ' αὐτά· καὶ αὐτὸ εἶναι τὸ νὰ ἀμεριμνήσεις γιὰ κάθε ἄνθρωπο.

312

Ἐρώτηση

Ὁ λογισμὸς μοῦ λέγει, 'κόψε γιὰ πάντα τὶς συναντήσεις

ἀπαλλάσσῃ'. Καὶ πάλιν λέγει μοι κατὰ μικρόν, 'κόψον διὰ τὸ μὴ ξενισθῆναι τοὺς εἰδότας σε'. Εἰπὲ οὖν μοι ποῖον βέλτιον;

Ἀπόκρισις Ἰωάννου.

Περὶ τοῦ ἐφάπαξ κόψαι καὶ κατὰ μικρὸν μικρόν, διὰ τὸ μὴ ξενισθῆναι τοὺς εἰδότας σε. Ἐὰν ἐφάπαξ κόψῃς, ἀμεριμνεῖς· ἐπεὶ πρόφασιν παρέχεις καὶ λογισμούς· πρόφασιν μὲν τοῦ λέγειν, 'ὁπότε ἐλάλησέ μοι τὸ πρῶτον λαλῶ αὐτῷ'· λογισμοὺς δέ, ὅτι 'ἆρα τίποτε ἔχει κατ' ἐμοῦ ὁ ἀδελφὸς οὗτος ὅτι πρῶτον ἐλάλησε μετ' ἐμοῦ καὶ ἄρτι οὐ λαλεῖ;' Θέλησον τὸ πρᾶγμα καὶ κατευοδοῖ ὁ Θεός.

ΤΙΓ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Καὶ ἐπειδὴ ἔσθ' ὅτε τινὲς ἀσθενεῖς ἔρχονται εἰς τὸ κοινόβιον, δεόμενοί τινος ἐκ τοῦ Νοσοκομείου, καὶ ἐπετράπην ἐκ τοῦ ἀββᾶ διαδοῦναι αὐτοῖς, καὶ ἐκ τούτου ἀναγκάζομαι αὐτοῖς συντυχεῖν, μὴ δοκῶ ἰδίῳ θελήματι ταῦτα ποιεῖν; Δήλωσόν μοι, πάτερ, καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα εὕρω ἐν αὐτοῖς ἀνάπαυσιν.

Ἀπόκρισις Ἰωάννου.

Περὶ τῶν ἐρχομένων ἀσθενῶν καὶ δεομένων τινὸς τοῦ νοσοκομείου, ἐὰν ἐπίσης δώσῃς σὺ πρᾶγμα οὐκ ἔχεις· ἐκελεύσθης γάρ. Ὀφείλεις δὲ σφόδρα προσέχειν· μὴ ταύτῃ τῇ προφάσει ἐκχύσῃς μετά τινος τὴν ὁμιλίαν ἢ πλατύνεις τὴν συντυχίαν ἐκ τῆς χρείας, εἰ μὴ ὅτε χρεία ἐρωτῆσαι αὐτὸν

καὶ θ' ἀπαλλαχθεῖς'. Καὶ πάλι μοῦ λέγει, 'κόψε αὐτὲς σιγὰ σιγὰ γιὰ νὰ μὴ στενοχωρηθοῦν ἐκεῖνοι ποὺ σὲ γνωρίζουν'. Πές μου λοιπὸν ποιό εἶναι καλύτερο;

Ἀπόκριση Ἰωάννη.

Τὴν ἀποκοπὴ τῶν συναντήσεων μὲ μιᾶς καὶ σιγὰ σιγά, σοῦ τὰ λέγει γιὰ νὰ μὴ στενοχωρηθοῦν ἐκεῖνοι ποὺ σὲ γνωρίζουν. Ἐὰν τὶς κόψεις διὰ μιᾶς, ἀμεριμνεῖς· διότι παρέχεις πρόφαση καὶ λογισμούς· πρόφαση γιὰ νὰ λέγεις· 'ἐπειδὴ μοῦ μίλησε στὴν ἀρχὴ τὸν μιλῶ'· καὶ λογισμούς, διότι λέγεις, 'ἄραγε ἔχει τίποτε ἐναντίον μου αὐτὸς ὁ ἀδελφός; διότι στὴν ἀρχὴ μίλησε μὲ μένα καὶ τώρα δὲ μιλᾶ. Θέλησέ το αὐτὸ τὸ πρᾶγμα καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσει.

313

Ἐρώτηση τοῦ ἰδίου.

Ἐπειδὴ μερικὲς φορὲς ἔρχονται στὸ κοινόβιο ἀσθενεῖς ποὺ χρειάζονται κάτι ἀπὸ τὸ νοσοκομεῖο, καὶ μοῦ ἀνατέθηκε ἀπὸ τὸν ἀββᾶ νὰ τοὺς τὸ προσφέρω, καὶ γι' αὐτὸ ἀναγκάζομαι νὰ τοὺς συναντήσω, μήπως φαίνομαι ὅτι τὰ κάνω αὐτὰ μὲ τὴ θέλησή μου; Δήλωσέ μου, πάτερ, καὶ προσευχήσου γιὰ μένα, γιὰ νὰ βρῶ ἀνάπαυση ἀνάμεσά τους.

Ἀπόκριση Ἰωάννη.

Γιὰ τοὺς ἀσθενεῖς ποὺ ἔρχονται καὶ χρειάζονται κάτι ἀπὸ τὸ νοσοκομεῖο, ἐὰν τοὺς τὸ δώσεις, ἐσὺ δὲν ἔχεις εὐθύνη· διότι διατάχθηκες. Πρέπει ὅμως νὰ προσέχεις πολύ· νὰ μὴ ἀρχίσεις μ' αὐτὴ τὴν πρόφαση τὴν φλυαρία μὲ κάποιον καὶ νὰ μὴ μακρύνεις τὴ συνάντηση γι' αὐτὴ τὴν ἀνάγκη, παρὰ μόνο ἂν ὑπάρχει ἀνάγκη νὰ τὸν ἐρωτήσεις γιὰ κάποιο

περὶ πράγματος ἢ ἀγορασίας. Καὶ τοῦτο πάλιν μέχρι τούτου προσέχων μὴ εὑρεῖν πρόφασιν τὸ κακὸν θέλημα.

Ταῦτα φύλαξον καὶ εὑρήσεις ἀνάπαυσιν.

ΤΙΔ'

Ἐρώτησις

Ὁ λογισμὸς λέγει μοι, ὅτι 'ἡ ἡσυχία πάντων ἐστὶν ἀναγκαιοτέρα, καὶ ὅτι συμφέρει σοι'. Ἆρα καλῶς λέγει;

Ἀπόκρισις Ἰωάννου.

Η ἡσυχία τί ἐστιν, ἀλλ' ἢ τὸ συστεῖλαί τινα τὴν καρδίαν αὐτοῦ ἀπὸ δόσεως καὶ λήψεως καὶ ἀνθρωπαρεσκείας καὶ τῶν λοιπῶν ἐνεργειῶν; Καὶ ὅτε δὲ ὁ Κύριος ἤλεγξε τὸν γραμματέα διὰ τὸν ἐμπεσόντα εἰς τοὺς λῃστάς, καὶ ἐπηρώτησεν αὐτόν, 'τίς ἐγένετο πλησίον;' λέγει· «ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ». Πάλιν εἴρηκεν· «ἔλεον θέλω καὶ οὐ θυσίαν».

Εἰ οὖν ἔχεις ἅπαξ ὅτι τὸ ἔλεος πλεῖόν ἐστι τῆς θυσίας, εἰς τὸ ἔλεος κλῖνον τὴν καρδίαν σου· καὶ γὰρ ἡ πρόφασις τῆς ἡσυχίας φέρει εἰς ὑψηλοφροσύνην, πρινὴ ὁ ἄνθρωπος κερδάνῃ ἑαυτόν, τουτέστιν ἄμωμος γένηται· τότε γὰρ ἡσυχία ἐστίν· ὅτι ἐβάστασε τὸν σταυρόν. Ἐὰν οὖν συμπαθήσῃς, εὑρίσκεις βοήθειαν· ἐὰν δὲ κρατήσῃς σεαυτόν, ὡς δῆθεν ὑπεραναβῆναι τὸ μέτρον, τοῦτο μάθε, ὅτι καὶ ὃ ἔχεις ἀπώλεσας. Μήτε οὖν ἔσω μήτε ἔξω, ἀλλὰ ἀμέσως πορεύθητι, συνιὼν τί τὸ θέλημα τοῦ Κυρίου, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν.

ΤΙΕ'

Ἐρώτησις τοῦ αὐτοῦ.

Σαφήνισόν μοι, δέσποτα, 'πῶς μήτε ἔσω μήτε ἔξω, ἀλλὰ

71. Λουκᾶ 10,37.

πράγμα ἢ γιὰ ἀγορασιά. Καὶ αὐτὸ πάλι μέχρις ἐδῶ, προσέχοντας νὰ μὴ βρεῖ πρόφαση τὸ κακὸ θέλημα.

Φύλαξέ τα αὐτὰ καὶ θὰ βρεῖς ἀνάπαυση.

314

Ἐρώτηση

Ὁ λογισμός μοῦ λέγει, ὅτι ἡ ἡσυχία εἶναι ἀναγκαιότερη ἀπὸ ὅλα, καὶ ὅτι σὲ συμφέρει. Ἄραγε λέγει σωστά;

Ἀπόκριση Ἰωάννη.

Τί εἶναι ἡσυχία, παρὰ νὰ συγκρατήσει κανεὶς τὴν καρδιά του ἀπὸ τὶς δοσοληψίες καὶ τὴν ἀνθρωπαρέσκεια καὶ ἀπὸ τὶς ὑπόλοιπες ἐνέργειες; Ὅταν ὁ Κύριος ἤλεγξε τὸν γραμματέα γιὰ ἐκεῖνον ποὺ ἔπεσε στοὺς ληστὲς καὶ τὸν ἐρώτησε, 'ποιός ἦταν ὁ πλησίον', λέγει· «αὐτὸς ποὺ ἔδειξε τὸ ἔλεος σ' αὐτόν»[71]. Πάλι ἔχει πεῖ· «ἔλεος θέλω καὶ ὄχι θυσία»[72].

Ἐὰν λοιπὸν θεωρεῖς ὁπωσδήποτε, ὅτι τὸ ἔλεος εἶναι ἀνώτερο τῆς θυσίας, κλίνε τὴν καρδιά σου στὸ ἔλεος· διότι καὶ ἡ πρόφαση τῆς ἡσυχίας ὁδηγεῖ σὲ ὑψηλοφροσύνη, προτοῦ ὁ ἄνθρωπος κερδίσει τὸν ἑαυτό του, δηλαδὴ προτοῦ γίνει ἄμεμπτος· διότι τότε ὑπάρχει ἡσυχία, ἀφοῦ βάσταξε τὸν σταυρό. Ἐὰν λοιπὸν συμπαθήσεις θὰ βρεῖς βοήθεια· ἐὰν ὅμως κρατήσεις τὸν ἑαυτό σου, γιὰ νὰ ξεπεράσεις δῆθεν τὸ μέτρο, μάθε αὐτό, ὅτι ἔχασες καὶ αὐτὸ ποὺ ἔχεις. Οὔτε μέσα λοιπόν, οὔτε ἔξω· ἀλλὰ προχώρησε ἀμέσως, ἀναλογιζόμενος ποιό εἶναι τὸ θέλημα τοῦ Κυρίου, διότι οἱ ἡμέρες εἶναι πονηρές.

315

Ἐρώτηση τοῦ ἰδίου.

Ἐξήγησέ μου, δέσποτα, πῶς οὔτε μέσα, οὔτε ἔξω, ἀλλὰ

72. Ματθ. 9,13.

μέσως'; ἆρα μὴ φανερὰς ἡμέρας διορίζειν τῇ ἡσυχίᾳ καὶ φανερὰς τῇ φροντίδι;

***Ἀπόκρισις** Ἰωάννου.*

Τὸ μήτε εἰς τὴν ἡσυχίαν θαρρεῖν, μήτε καταφρονεῖν ἐν τῷ περισπασμῷ, αὕτη ἐστὶν ἡ μέση ὁδὸς ἡ μὴ πίπτουσα, ἀλλ' ἔχειν ἐν τῇ ἡσυχίᾳ τὴν ταπείνωσιν καὶ ἐν τῷ περισπασμῷ τὴν νῆψιν. Καὶ τοῦ συστέλλειν τὸν λογισμὸν οὐκ ἔστιν ὅρος ὥρας πόσῳ μᾶλλον ἡμέρας. Ἀλλ' ὀφείλει τις φέρειν μετ' εὐχαριστίας τὰ ἐπερχόμενα· συμπάσχειν δὲ χρὴ πᾶσι τοῖς ἐν τῷ κοινοβίῳ. Καὶ γὰρ ἐντολὴν τοῦ Ἀποστόλου πληροῖ· τουτέστιν, ἐάν τις θλίβηται, ἵνα συνθλιβῇ αὐτῷ, ἵνα παρακαλέσῃ αὐτόν, ἵνα παραμυθήσηται αὐτόν· αὕτη γάρ ἐστιν ἡ συμπάθεια, καὶ τὸ τοῖς ἀσθενέσι συμπάσχειν καὶ ταῖς θεραπείαις αὐτῶν συνεργεῖν, καλόν. Εἰ γὰρ ὁ ἰατρὸς μισθὸν ἔχει φροντίζων τοῦ ἀσθενοῦς, πόσῳ μᾶλλον ὁ συμπάσχων εἰς πάντα τῷ πλησίον κατὰ τὴν δύναμιν αὐτοῦ; Ἐὰν γὰρ μή τις εἰς πάντα συμπαθήσῃ, καὶ εἰς αὐτὸ ὃ συμπάσχει θέλημα οἰκεῖον πληρῶν εὑρίσκεται.

TIS'

Ἐρώτησις τοῦ αὐτοῦ.

Ἐπειδὴ ἐκέλευσάς μοι περὶ τοῦ μέσως παρελθεῖν, καὶ ὅτε συμβαίνει με σχολάσαι καὶ εὑρεῖν εὐκαιρίαν τοῦ μικρὸν καθίσαι ἐν τῷ κελλίῳ μου, ὄχλησιν πολλὴν ὑπομένω ἀπὸ τῶν ἐξ ἔθους ἐρχομένων ἀγαπητῶν μοναχῶν, ἢ καὶ κοσμικῶν· καὶ ἐὰν φανῶ αὐτοῖς, θλίβομαι, καὶ ἐὰν μὴ θελήσω φανῆναι, ἀνάγκη ἐστὶ μεῖναι ἐν τῷ κελλίῳ μου καὶ ἐμποδίζεται ἡ χρεία τοῦ νοσοκομείου. Μὴ κελεύεις εἴπω

ἐνδιάμεσα; Ἄραγε δὲν πρέπει νὰ ὁρίζουμε τακτὲς ἡμέρες γιὰ τὴν ἡσυχία καὶ τακτὲς γιὰ τὴ φροντίδα;

Ἀπόκριση Ἰωάννη.

Μέση ὁδὸς ποὺ δὲν παρεκκλίνει εἶναι τὸ νὰ μὴ παίρνεις θάρρος ἀπὸ τὴν ἡσυχία, οὔτε νὰ περιφρονεῖς τὸν περισπασμό, ἀλλὰ νὰ ἔχεις τὴν ταπείνωση στὴν ἡσυχία καὶ τὴ νήψη στὸν περισπασμό· τῆς συστολῆς τοῦ λογισμοῦ δὲν ὑπάρχει ὅριο σὲ ὧρες πολὺ περισσότερο σὲ μέρες. Ἀλλ' ὀφείλει κανεὶς νὰ ὑποφέρει μὲ εὐχαρίστηση τὰ ἐπερχόμενα· καὶ πρέπει νὰ συμπάσχει μὲ ὅλους ὅσοι βρίσκονται στὸ κοινόβιο. Διότι πραγματοποιεῖ τὴν ἐντολὴ τοῦ Ἀποστόλου· δηλαδή, ἐὰν κανεὶς θλίβεται, νὰ θλιβεῖ μαζὶ μ' αὐτόν, νὰ τοῦ παρευρεθεῖ, νὰ τὸν παρηγορήσει· διότι αὐτὴ εἶναι ἡ συμπάθεια καὶ εἶναι καλὸ νὰ συμπάσχεις μὲ τοὺς ἀσθενεῖς καὶ νὰ βοηθᾶς στὶς θεραπεῖες τους. Διότι, ἐὰν ὁ γιατρὸς ἀμείβεται ὅταν φροντίζει τὸν ἀσθενῆ, πόσο περισσότερο αὐτὸς ποὺ συμπάσχει σὲ ὅλα μὲ τὸν πλησίον, σύμφωνα μὲ τὴ δύναμή του; Διότι, ἐὰν κανεὶς δὲν συμπάσχει σὲ ὅλα φαίνεται νὰ πραγματοποιεῖ τὸ θέλημά του καὶ σ' αὐτὸ γιὰ τὸ ὁποῖο συμπάσχει.

316

Ἐρώτηση τοῦ ἰδίου.

Ἐπειδὴ μὲ διέταξες ν' ἀκολουθήσω τὴ μεσότητα, ὅταν συμβαίνει νὰ σχολάσω καὶ νὰ βρῶ εὐκαιρία γιὰ νὰ καθήσω λίγο στὸ κελλί μου, ὑπομένω πολλὴ ἐνόχληση ἀπὸ τοὺς ἀγαπητοὺς μοναχοὺς ἢ κοσμικοὺς ποὺ ἔρχονται ἀπὸ συνήθεια. Ἐὰν ἐμφανισθῶ σ' αὐτοὺς στενοχωριέμαι, ἐὰν πάλι δὲν θελήσω νὰ ἐμφανισθῶ, εἶμαι ἀναγκασμένος νὰ μείνω στὸ κελλί μου καὶ ἐμποδίζεται ἡ ἀνάγκη τοῦ νοσοκομείου. Μήπως λοιπὸν διατάζεις νὰ πῶ σὲ κάποιον ἀπὸ τοὺς ἀδελφοὺς ποὺ μένουν ἐκεῖ μαζί μου, νὰ ἔρθει ὁ ἴδιος

ἑνὶ τῶν ἀδελφῶν τῶν ἐκεῖ μετ' ἐμοῦ, ἵνα, ὅτε μὴ φθάνω, ἔλθῃ αὐτὸς καὶ φροντίσῃ; ἢ πάντως ἀπέλθω; Ταῦτα ὡς ἄνθρωπος λογίζομαι· ἐὰν δὲ δικαίωμα ᾖ ἐν τῷ λογισμῷ, τὸ θέλημα τοῦ Θεοῦ κρατείτω καὶ μὴ τὸ ἐμόν, ὅτι τὸ ἴδιον οὐχ ἵσταται, ἀλλ' εἰς ἀπώλειαν τελευτᾷ.

Ἀπόκρισις *Ἰωάννου.*

Ὅσον ὁ ἄνθρωπος κατάγεται εἰς ταπείνωσιν, προκόπτει. Τὸ μεῖναί σε ἐν τῷ κελλίῳ σου ἄπρακτόν σε ποιεῖ, ὅτι γίνῃ ἄθλιβος· καὶ ἐν τῷ ἀμεριμνῆσαι πρὸ καιροῦ, ὁ ἐχθρὸς ἑτοιμάζει σοι ταραχὴν πλείω τῆς ἀναπαύσεως, ἵνα ἐνέγκῃ σε εἰπεῖν, 'εἴθε οὐκ ἐγεννήθην'.

Περὶ δὲ τῆς ὀχλήσεως τῶν ἀνθρώπων, εἶπον οἱ πατέρες· ἔστιν ἄνθρωπος ῥέγχων εἰς τὸ ἀποθανεῖν καὶ προσέχων φιλίαις τοῦ κόσμου τούτου. Καὶ σὺ οὖν μὴ δῷς οὔτε λάβῃς μετ' αὐτῶν· καὶ οὕτως ἀλλοτριοῦνταί σου.

Καὶ περὶ τῆς διακονίας τοῦ ἀδελφοῦ· ἐὰν ποιῇς διὰ σαυτοῦ, σαυτῷ βοηθεῖς· ἐὰν δὲ δι' ἐκείνου, τὸ περισσὸν τοῦ κόπου σου καὶ τῆς εὐχῆς σου ἐκεῖνος λαμβάνει. Προεῖπόν σοι εἰς τὴν ἄλλην ἀπόκρισιν περὶ συμπαθείας, καὶ ἀγώνισαι εἰ πιστεύεις τῷ Ἀποστόλῳ λέγοντι· «τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;»· τοῖς κακουχουμένοις συγκακουχούμενοι, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

ΤΙΖ'

Ἐρώτησις

Πῶς δύναμαι, πάτερ, αἰτηθεὶς πρᾶγμα παρά τινος, μετὰ ἱλαρότητος παρασχεῖν αὐτῷ τὴν ἀρχὴν ἀμφιβάλλων; Ὡς γὰρ μετὰ βίας παρέχω εὑρίσκεται ἡ ψυχή μου σκληρὰ καὶ ἀπίαντος.

---

73. Β' Κορ. 11,29.

καὶ νὰ φροντίσει ὅταν δὲν ἔρχομαι ἐγώ; ἢ νὰ μεταβῶ ἐγὼ ὁπωσδήποτε. Αὐτὰ τὰ σκέφτομαι σὰν ἄνθρωπος· ἐὰν ὅμως ὑπάρχει ἐντολὴ στὸ λογισμό, ἂς ἐπικρατήσει τὸ θέλημα τοῦ Θεοῦ καὶ ὄχι τὸ δικό μου, διότι τὸ δικό μου δὲν στέκει ἀλλὰ καταλήγει στὸν ἐξαφανισμό.

Ἀπόκριση Ἰωάννη.

Ὅσο ὁ ἄνθρωπος κατεβαίνει σὲ ταπείνωση, προκόβει. Τὸ νὰ μείνεις ἐσὺ στὸ κελλί σου σὲ κάνει ἄπρακτο, διότι γίνεσαι ἄθλιβος· καὶ μὲ τὸ νὰ ἀμεριμνήσεις πρὶν ἀπὸ τὸν καιρό, ὁ ἐχθρὸς σοῦ ἑτοιμάζει ταραχὴ μεγαλύτερη ἀπὸ τὴν ἀνάπαυση, γιὰ νὰ σὲ κάνει νὰ πεῖς, 'μακάρι νὰ μὴ γεννιόμουν'.

Γιὰ τὴν ἐνόχληση τῶν ἀνθρώπων, οἱ πατέρες εἶπαν· ὑπάρχει ἄνθρωπος ἑτοιμοθάνατος καὶ προσέχει τὶς φιλίες τοῦ κόσμου αὐτοῦ. Ἐσὺ λοιπὸν νὰ μὴ ἔχεις δοσοληψίες μ' αὐτούς, καὶ ἔτσι θ' ἀπομακρυνθοῦν ἀπὸ σένα.

Ὅσο γιὰ τὴ διακονία τοῦ ἀδελφοῦ, ἐὰν τὴν κάνεις μόνος σου, βοηθᾶς τὸν ἑαυτό σου, ἐὰν ὅμως τὴν κάνεις μὲ ἐκεῖνον, ἐκεῖνος παίρνει τὸ περισσότερο ἀπὸ τὸν κόπο σου καὶ ἀπὸ τὴν προσευχή σου. Σοῦ εἶπα προηγουμένως στὴν ἄλλη ἀπόκριση γιὰ συμπάθεια· ἀγωνίσου λοιπὸν ἐὰν πιστεύεις στὸν Ἀπόστολο ποὺ λέγει· «ποιός ἀσθενεῖ, καὶ δὲν ἀσθενῶ; ποιός σκανδαλίζεται καὶ ἐγὼ δὲν φλογίζομαι;»[73]· ταλαιπωρούμαστε μαζὶ μ' ἐκείνους ποὺ ταλαιπωροῦνται, ἀφοῦ κι' ἐμεῖς εἴμαστε στὸ σῶμα.

317

Ἐρώτηση

Πῶς μπορῶ, πάτερ, ὅταν μοῦ ζητήσει κάποιος κάτι νὰ τοῦ τὸ δώσω μὲ ἱλαρότητα, ἐνῶ ἀμφιβάλλω κατ' ἀρχήν; Διότι, δίνοντάς το μὲ βία, ἡ ψυχή μου φαίνεται σκληρὴ καὶ ὠμή.

Ἀπόκρισις Ἰωάννου.

Ἐὰν μάθῃς ὅτι ὁ αἰτῶν κατὰ χρείαν αἰτεῖ, δὸς αὐτῷ χαίρων, ὡς ἐκ τῶν τοῦ Θεοῦ παρέχων· καὶ αὕτη ἐτὶν ἡ ἱλαρότης. Ἐὰν δὲ μάθῃς ὅτι οὐ χρείαν ἔχει, μὴ δῷς αὐτῷ, ἀλλ' εἰπέ, 'ἐντολὴν ἔχω ἐκ τοῦ ἀββᾶ μὴ δοῦναι τίποτε τῷ μὴ χρείαν ἔχοντι', καὶ οὐκ ἔστι τοῦτο σκληρότης.

Ὁ Κύριος συνετίσοι σε.

ΤΙΗ'

Ἐρώτησις

Ἐπειδὴ ἀνέγνων εἰς τὸ Ἀσκητικὸν τοῦ ἁγίου Βασιλείου καὶ εὗρον, ὅτι πᾶς ὃς ἂν ἔχῃ τι καὶ δώσῃ τινί, ἑαυτὸν μᾶλλον καὶ οὐχὶ ἐκεῖνον εὐηργέτησε κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, πῶς δύναται φυλάξαι αὐτήν;

Ἀπόκρισις

Τοῦτο τὸ κεφάλαιον, τῷ κατὰ μόνας εἴρηται καὶ δυναμένῳ ἑαυτὸν κυβερνῆσαι μετὰ διακρίσεως· ὁ γὰρ ἐν τῷ κοινοβίῳ ὑπὸ πατέρα ἐστί, καὶ οὐκ ἔχει ἐντολήν· καὶ οὐδεμίαν ἐξουσίαν ἔχει ποιῆσαι τὸ ἴδιον θέλημα.

ΤΙΘ'

Ἐρώτησις

Ἐπειδὴ καὶ τοῦτο εὗρον ἐν τῷ Ἀσκητικῷ τοῦ ἁγίου Βασιλείου, ὅτι ἀδύνατον μαθητὴν τοῦ Κυρίου γενέσθαι τὸν προσπαθῶς ἔχοντα πρός τι τῶν παρόντων ἢ ἀνεχόμενόν τινος τῶν καὶ ἐπ' ὀλίγον ἀφελκόντων αὐτὸν τῆς ἐντολῆς

Ἀπόκριση Ἰωάννη.

Ἐὰν ξέρεις ὅτι αὐτὸς ποὺ ζητᾶ, ζητᾶ ἀπὸ ἀνάγκη, δός του μὲ χαρά, σὰν νὰ τοῦ δίνεις ἀπὸ τὰ πράγματα τοῦ Θεοῦ· καὶ αὐτὴ εἶναι ἡ ἱλαρότητα. Ἐὰν ὅμως γνωρίζεις ὅτι δὲν ἔχει ἀνάγκη, νὰ μὴ τοῦ δώσεις, ἀλλὰ πές, 'ἔχω ἐντολὴ ἀπὸ τὸν ἀββᾶ νὰ μὴ δώσω τίποτα σ' αὐτὸν ποὺ δὲν ἔχει ἀνάγκη'· αὐτὸ δὲν εἶναι σκληρότητα.

Εἴθε ὁ Κύριος νὰ σοῦ δώσει σύνεση.

318

Ἐρώτηση

Ἐπειδὴ διάβασα στὸ Ἀσκητικὸ τοῦ ἁγίου Βασιλείου καὶ βρῆκα ὅτι ὁ καθένας ποὺ ἔχει κάτι, ἂν τὸ δώσει σὲ κάποιον, εὐεργετεῖ τὸν ἑαυτό του περισσότερο παρὰ ἐκεῖνον, σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ Κυρίου, πῶς μπορῶ νὰ τὴ φυλάξω;

Ἀπόκριση

Αὐτὸ τὸ κεφάλαιο ἔχει λεχθεῖ γιὰ ἐκεῖνον ποὺ ἀσκεῖται μόνος του καὶ μπορεῖ νὰ κυβερνήσει μὲ διάκριση τὸν ἑαυτό του· διότι αὐτὸς ποὺ βρίσκεται στὸ κοινόβιο εἶναι κάτω ἀπὸ τὴν ἐξουσία τοῦ πατέρα καὶ δὲν ἔχει ἐντολή· αὐτὸς δὲν ἔχει καμμία ἐξουσία νὰ κάνει τὸ δικό του θέλημα.

319

Ἐρώτηση

Ἐπειδὴ βρῆκα καὶ αὐτὸ στὸ Ἀσκητικὸ τοῦ ἁγίου Βασιλείου, ὅτι εἶναι ἀδύνατο νὰ γίνει μαθητὴς τοῦ Κυρίου ἐκεῖνος ποὺ εἶναι κυριευμένος ἀπὸ πάθος γιὰ κάτι ἀπὸ τὰ παρόντα, ἢ ἀνέχεται κάτι ἀπὸ αὐτὰ ποὺ παρασύρουν γιὰ λίγο ἀπὸ τὴν ἐντολὴ τοῦ Θεοῦ. Ἐπειδὴ μοῦ χρωστοῦν οἱ

τοῦ Θεοῦ· χρεωστοῦσι δέ μοι οἱ συγγενεῖς μου μικρὸν λογάριον, καὶ θέλω αὐτῷ δοῦναι πτωχοῖς, καὶ τάχα οὐ θέλουσιν αὐτὸ παρασχεῖν, τί ποιήσω;

***Ἀπόκρισις** Ἰωάννου.*

Εάν μὴ κόψῃς τὸ σαρκικὸν φρόνημα καὶ λάβῃς μικρὰν ἀναίδειαν κατὰ Θεόν, ἐμπίπτεις καὶ εἰς ἀνθρωπαρέσκειαν. Ὁ Θεὸς παράσχοι σοι δύναμιν ποιεῖν τὸ θέλημα αὐτοῦ κατὰ πάντα. Ἀμήν.

ΤΚ΄

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Τί ἐστιν ὃ λέγουσιν οἱ πατέρες 'ἀσιώπητον', καὶ πῶς κατορθοῦται;

Ἀπόκρισις

Ως νομίζω, τὸ μὴ σιωπᾶν περὶ τῶν ἰδίων λογισμῶν· ὁ γὰρ σιωπῶν εἰπεῖν αὐτοῦ τοὺς λογισμούς, μένει ἀθεράπευτος· κατορθοῦται δὲ ἐν τῷ ἐπερωτᾶν περὶ αὐτῶν τοὺς πνευματικοὺς πατέρας. Ὡς λογίζομαι εἶπον τῷ ἀδελφῷ μου· εἰ δὲ σὺ κάλλιον αὐτὸ νοεῖς, ὁ Κύριος δώῃ σοι σύνεσιν τὴν παρ' αὐτοῦ, κἀμοὶ τῷ ἐλαχίστῳ δούλῳ αὐτοῦ.

ΤΚΑ΄

Ἐρώτησις

Τί ἐστιν ὃ ἐδήλωσάς μοι, πάτερ, ὅτι 'τὸν νήφοντα οὐδὲν βλάπτει ὁ ὕπνος';

***Ἀπόκρισις** Ἰωάννου.*

Τοῦ φυλάσσοντος τὸ ποίμνιον αὐτοῦ, κατὰ τὸν Ἰακώβ, ἀφίσταται ἀπ' αὐτοῦ ὁ ὕπνος· καὶ ὅταν ἁρπάζῃ ὀλίγον, ὡς γρήγορσις ἄλλου εὑρίσκεται ὁ ὕπνος· τὸ πῦρ γὰρ τῆς καύσεως τῆς καρδίας οὐκ ἀφίησιν αὐτὸν κατενεχθῆναι εἰς

συγγενεῖς μου λίγα χρήματα καὶ θέλω νὰ τὰ δώσω στοὺς φτωχούς, καὶ αὐτοὶ ἴσως δὲν θέλουν νὰ τὰ δώσω, τί νὰ κάνω;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν δὲν κόψεις τὸ σαρκικὸ φρόνημα καὶ νὰ πάρεις μικρὸ θάρρος ἀρεστὸ στὸ Θεό, πέφτεις καὶ σὲ ἀνθρωπαρέσκεια. Εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει δύναμη νὰ κάνεις τὸ θέλημά του σὲ ὅλα. Γένοιτο.

320

Ἐρώτηση τοῦ ἰδίου.

Τί εἶναι αὐτὸ ποὺ οἱ πατέρες ὀνομάζουν ἀσιώπητο, καὶ πῶς κατορθώνεται;

Ἀπόκριση

Ὅπως νομίζω, εἶναι τὸ νὰ μὴ σιωπᾶς γιὰ τοὺς λογισμοὺς σου· διότι, αὐτὸς ποὺ σιωπᾶ νὰ λέγει τοὺς λογισμοὺς του, μένει ἀθεράπευτος· καὶ κατορθώνεται μὲ τὸ νὰ ἐρωτᾶ γι' αὐτοὺς τοὺς πνευματικοὺς πατέρες. Ἀπάντησα στὸν ἀδελφό μου ὅπως τὸ σκέφτομαι· ἐὰν ὅμως ἐσὺ τὸ καταλαβαίνεις καλύτερα, εἴθε ὁ Κύριος νὰ δώσει τὴν παρ' αὐτοῦ σύνεση σὲ σένα καὶ σὲ μένα τὸν ἐλάχιστο δοῦλο του.

321

Πάτερ, τί σημαίνει αὐτὸ ποὺ μοῦ δήλωσες, ὅτι 'ἐκεῖνον ποὺ εἶναι νηφάλιος δὲν τὸν βλάπτει καθόλου ὁ ὕπνος;

Ἀπόκριση Ἰωάννη.

Ἀπὸ ἐκεῖνον ποὺ φυλάγει τὸ ποίμνιό του ἀπομακρύνεται ὁ ὕπνος, ὅπως συνέβηκε μὲ τὸν Ἰακώβ· καὶ ὅταν τὸν ἁρπάζει γιὰ λίγο, ὁ ὕπνος του εἶναι σὰν τὴν ἐγρήγορση ἑνὸς ἄλλου· διότι ἡ φωτιὰ τῆς καύσεως τῆς καρδιᾶς δὲν τὸν

ὕπνον. Συμψάλλει γὰρ τῷ Δαβὶδ μελῳδῶν, «φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον». Ὁ φθάνων τὸ μέτρον τοῦτο καὶ γευσάμενος τῆς γλυκύτητος αὐτοῦ, νοεῖ τὰ λεγόμενα· οὐ μεμέθυσται γὰρ ὁ τοιοῦτος τῷ ὑλικῷ ὕπνῳ, ἀλλὰ χρῆται τῷ φυσικῷ.

ΤΚΒ'

Ἐρώτησις

Ἐὰν αἰτήσῃ μέ τις εἰσελθεῖν εἰς τὸ κελλίον αὐτοῦ ποιῆσαι εὐχὴν ἢ ἐγὼ ἐν τῷ κελλίῳ μου, ἢ θελήσω βαλεῖν χεῖρα βοηθῆσαί τινι εἰς ἔργον, μέχρι τίνος δεῖ παραιτεῖσθαι ἢ φιλονεικεῖν; ἔνθα δηλονότι οὐκ ἔστι παράβασις ἐντολῆς.

Ἀπόκρισις

Εὰν εἰσέλθῃς εἰς κελλίον ἀδελφοῦ ἢ αὐτὸς εἰς τὸ κελλίον σου καὶ εἴπῃ σοι 'εὖξαι', ἕως τρίτου εἰπέ, 'συγχώρησον'. Καὶ ἐὰν μετὰ τὸ τρίτον ἐμμείνῃ, τότε μετὰ ταπεινώσεως ποίησον. Καὶ σὺ τρίτον εἰπέ τινι· καὶ ἐὰν μὴ θελήσῃ, ἄφες· κακὴ γάρ ἐστιν ἡ φιλονεικία· καὶ περὶ παντὸς δὲ πράγματος· ἢ ἵνα βαστάξῃς πρᾶγμα παρά τινος, ἢ ἵνα βάλῃς χεῖρα, ἕως τρίτου παρακάλεσον· κἂν μὴ θελήσῃ, παῦσαι μετὰ εἰρήνης καὶ μὴ θλίψῃς αὐτόν.

Καὶ αὐτή ἐστιν ἀληθινὴ ὁδὸς τοῦ Θεοῦ· ἐν ᾗ πρόσεχε σεαυτῷ ἐργάσασθαι ἀνυποκρίτως καθαρᾷ καρδίᾳ, τοῦ Θεοῦ σου διδόντος χεῖρα καὶ βοηθοῦντος διὰ τῆς χάριτος αὐτοῦ. Ἀμήν.

ἀφήνει νὰ πέσει σὲ ὕπνο. Αὐτὸς συμψάλλει μὲ τὸν Δαβὶδ μελωδικά· «φώτισε τὰ μάτια μου, μήπως ποτὲ κοιμηθῶ μέχρι θανάτου»[74]. Ὅποιος φθάνει αὐτὸ τὸ μέτρο καὶ γεύεται τὴ γλυκύτητά του κατανοεῖ τὰ λεγόμενα· διότι αὐτὸς δὲν ἔχει μεθύσει μὲ τὸν ὑλικὸ ὕπνο, ἀλλὰ χρησιμοποιεῖ τὸν φυσικό.

322

Ἐρώτηση

Ἐὰν μοῦ ζητήσει κάποιος νὰ μπῶ στὸ κελλί του γιὰ νὰ προσευχηθῶ, ἢ τὸν καλέσω ἐγὼ στὸ κελλί μου, ἢ θελήσω νὰ βάλω τὸ χέρι μου γιὰ νὰ βοηθήσω κάποιον σὲ ἔργο, μέχρι ποιοῦ σημείου πρέπει ν' ἀρνοῦμαι ἢ νὰ φιλονεικῶ; Ὅπου βέβαια δὲν ὑπάρχει παράβαση ἐντολῆς.

Ἀπόκριση

Ἐὰν μπεῖς στὸ κελλὶ τοῦ ἀδελφοῦ ἢ αὐτὸς στὸ κελλί σου καὶ σοῦ πεῖ νὰ προσευχηθεῖς, μέχρι τρεῖς φορὲς πές, 'συγχώρεσέ με'. Καὶ ἐὰν μετὰ ἀπὸ τρεῖς φορὲς ἐπιμείνει, τότε κάνε το μὲ ταπείνωση. Καὶ ἐσὺ ἐπίσης πὲς σὲ κάποιον τρεῖς φορές· καὶ ἐὰν δὲ θελήσει, ἄφησέ τον, διότι ἡ φιλονεικία εἶναι κακή. Καὶ γιὰ κάθε πράγμα, ἢ γιὰ νὰ βαστάξεις κάτι ἀπὸ κάποιον ἢ γιὰ νὰ βοηθήσεις, παρακάλεσε μέχρι τρεῖς φορές, καὶ ἐὰν δὲν θελήσει, σταμάτα εἰρηνικὰ καὶ μὴ τὸν στενοχωρήσεις.

Αὐτὴ εἶναι ἡ ἀληθινὴ ὁδὸς τοῦ Θεοῦ, στὴν ὁποία πρόσεχε τὸν ἑαυτό σου νὰ ἐργασθεῖς ἀνυπόκριτα μὲ καθαρὴ τὴν καρδιά, καὶ ὁ Θεὸς θὰ σοῦ δώσει τὸ χέρι του καὶ θὰ σὲ βοηθήσει μὲ τὴ χάρη του. Γένοιτο.

---

74. Ψαλμ. 12,4.

ΤΚΓ'

Ἐρώτησις αὐτοῦ.

Ἐὰν φθάσῃ ἀγάπη[1] καὶ δώσωσί μοι τὸ μέρος μου καὶ μὴ χρῄζω αὐτὸ λαβεῖν, κελεύεις δέξασθαί με αὐτό, ἵνα μὴ δόξω κατ' ἐγκράτειαν μὴ λαμβάνειν, καὶ ἀναλίσκω αὐτὸ τοῖς χρῄζουσιν εἰς τὸ νοσοκομεῖον; ἢ οὔ;

Ἀπόκρισις Ἰωάννου.

Ἐὰν χρῄζῃς ἐκ τῆς ἀγάπης, ἀδελφέ, λάβε· εἰ δὲ μή γε μὴ λάβῃς· ἐπεὶ γεννᾶταί σοι κενοδοξία.

ΤΚΔ'

Ἐρώτησις τοῦ αὐτοῦ.

Ἐπειδὴ συμβαίνει ὅτε ποιῶ τοῖς ἀδελφοῖς ἀγάπην, καὶ ὡς δόξα μοι ἀκολουθεῖ, ἆρα κακόν ἐστιν, ἵνα διὰ τοῦ ἀββᾶ κρυπτῶς ποιῶ ἢ δι' ἐμαυτοῦ· γυμνάζομαι γὰρ οὕτως· πῶς δὲ ἐλευθερωθῇ τις, πάτερ, τῆς δόξης ταύτης; Ὅτι καὶ διὰ τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν σπείρεται τῷ ἀνθρώπῳ.

Ἀπόκρισις

Τοῖς δυσὶ πράγμασιν ὀφείλεις προσέχειν, ὅτι ἔχουσι πρόφασιν εἰς κενοδοξίαν· ἀλλ' ὅμως τὸ διὰ τοῦ ἀββᾶ ποιῆσαι ἐλαφρότερόν ἐστιν, ὅτι πρὸς ἑαυτὴν ἔχει ἡ καρδία σου τὴν πρόφασιν. Τὸ δὲ διὰ σεαυτοῦ, διπλοῦν ἔχει τὸν πόλεμον· οὐ μόνον ἀπὸ τῆς καρδίας σου, ἀλλὰ καὶ ἀπὸ τῶν ἀνθρώπων. Τὸ δὲ ἐλευθερωθῆναι ἀπὸ τῆς φιλοδοξίας καὶ κενοδοξίας, τῶν ἐξελθόντων ἐστὶν ἀπὸ τοῦ παλαιοῦ ἀνθρώπου.

Ὁ Κύριος παράσχοι σοι τὴν ἐλευθερίαν ταύτην ἐν Χριστῷ

---

75. Δηλαδὴ κοινὴ τράπεζα.

323

Ἐρώτηση

Ἐὰν φθάσει ἀγάπη[75] καὶ μοῦ δώσουν τὸ μερίδιό μου καὶ δὲν θέλω νὰ τὸ πάρω, μὲ διατάζεις νὰ τὸ δεχθῶ, γιὰ νὰ μὴ φανῶ ὅτι δὲν τὸ παίρνω ἀπὸ ἐγκράτεια, καὶ νὰ τὸ μοιράσω σ' ἐκείνους ποὺ τὸ χρειάζονται στὸ νοσοκομεῖο ἢ ὄχι;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν χρειάζεσαι ἀπὸ τὴν ἀγάπη, ἀδελφέ, πάρε, ἐὰν ὄχι, νὰ μὴ πάρεις· διότι σοῦ γεννιέται κενοδοξία.

324

Ἐρώτηση τοῦ ἰδίου.

πειδὴ συμβαίνει νὰ μὲ ἀκολουθεῖ δόξα ὅταν δίνω ἀγάπη[76] στοὺς ἀδελφούς, ἄραγε εἶναι κακὸ νὰ τὴν δίνω κρυφὰ μέσω τοῦ ἀββᾶ, ἢ ἀπὸ μόνος μου, διότι ἔτσι γυμνάζομαι. Καὶ πῶς, πάτερ, θὰ ἐλευθερωθεῖ κανεὶς ἀπὸ αὐτὴ τὴ δόξα; Διότι σπείρεται στὸν ἄνθρωπο καὶ ἀπὸ τὰ ἀριστερὰ καὶ ἀπὸ τὰ δεξιά.

Ἀπόκριση

Πρέπει νὰ προσέχεις καὶ τὰ δύο πράγματα, διότι καὶ τὰ δύο ἐνέχουν ἀφορμὴ γιὰ κενοδοξία· ἀλλ' ὅμως τὸ νὰ δίνεις ἀγάπη μέσω τοῦ ἀββᾶ εἶναι ἐλαφρότερο, διότι ἡ καρδιά σου ἔχει μόνη της τὴν πρόφαση. Τὸ νὰ τὴν κάνεις ὅμως μόνος σου, ἔχει διπλὸ πόλεμο, ὄχι μόνο ἀπὸ τὴν καρδιά σου ἀλλὰ καὶ ἀπὸ τοὺς ἀνθρώπους. Τὸ νὰ ἐλευθερωθεῖς ἀπὸ τὴ φιλοδοξία καὶ τὴν κενοδοξία εἶναι γνώρισμα ἐκείνων ποὺ βγῆκαν ἀπὸ τὸν παλαιὸ ἄνθρωπο.

Εἴθε ὁ Κύριος νὰ σοῦ δώσει αὐτὴ τὴν ἐλευθερία μὲ τὴ

76. Δηλαδὴ ἐλεημοσύνη.

Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΚΕ'

Ἐρώτησις

Ὅτε κλείω τοὺς ὀφθαλμούς μου ἐν ταῖς συνάξεσι συνάγονται οἱ λογισμοί· ἆρα καλόν ἐστιν ἢ μή τι δοκῶ ξένον ποιεῖν ἐπὶ τοὺς συμπαρισταμένους ἀδελφοὺς καὶ σκανδαλίζονται;

Ἀπόκρισις *Ἰωάννου.*

Ἐὰν ὅλως ἐν τῷ κλείειν τοὺς ὀθαλμούς σου ἐν ταῖς συνάξεσι συνάγωνται οἱ λογισμοί σου διὰ τὸν Θεόν, μὴ ψηφίσῃς τινάς· κἄν, ὡς εἶπας, δόξῃς ποιεῖν τι ξένον παρὰ τοὺς συμπαρισταμένους σοι ἀδελφούς.

ΤΚS'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Ἐπειδὴ βιβλία ἔχω ἰδικά, καὶ ὁ λογισμὸς λέγει μοι, δοῦναι αὐτὰ τῷ κοινοβίῳ καὶ ἀμεριμνῆσαι, ὁπότε κοινά ἐστι τὰ τοῦ κοινοβίου, καὶ ἑκάστῳ δίδοται ἐν αὐτοῖς ἀναγινώσκειν. Ὁμοίως δὲ καὶ περὶ τῶν ἱματίων τὸ αὐτὸ λογίζομαι. Εἰπέ μοι, πάτερ, εἰ οὕτω δεῖ ποιῆσαι· καὶ τίνα ὀφείλω κρατῆσαι ἱμάτια διὰ τὴν τοῦ σώματος ἀσθένειαν.

Ἀπόκρισις *Ἰωάννου.*

Εἰ ἀποκτήσασθαι αὐτὰ θέλεις, καλόν ἐστιν οὕτω ποιῆσαι ὡς εἶπας δοῦναι αὐτὰ ἐν τῷ κοινοβίῳ· ὅλα γὰρ τὰ τοῦ κοινοβίου, τοῦ Θεοῦ εἰσι. Περὶ δὲ ὧν χρῄζεις ἱματίων ἔχε εἰς λόγον τοῦ χειμῶνος, δύο κολόβια στερεὰ καὶ ἓν λε-

βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

325

Ἐρώτηση

Ὅταν κλείνω τὰ μάτια μου στὶς συνάξεις, μαζεύονται οἱ λογισμοί· ἄραγε εἶναι καλό, ἢ μήπως φαίνομαι ὅτι κάνω κάτι παράξενο μπροστὰ στοὺς ἀδελφοὺς ποὺ εἶναι ἐκεῖ παρόντες καὶ σκανδαλίζονται;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν γενικὰ κλείνοντας τὰ μάτια σου στὶς συνάξεις μαζεύονται οἱ λογισμοί σου γιὰ τὸ Θεό, μὴ σκεφθεῖς κανένα· κι ἂν ἀκόμα φανεῖς, ὅπως εἶπες, ὅτι κάνεις κάτι παράξενο μπροστὰ στοὺς ἀδελφοὺς ποὺ εἶναι παρόντες ἐκεῖ μαζὶ μὲ σένα.

326

Ἐρώτηση τοῦ ἰδίου.

Ἐπειδὴ ἔχω δικά μου βιβλία, ὁ λογισμὸς μοῦ λέγει νὰ τὰ δώσω στὸ κοινόβιο καὶ νὰ ἀμεριμνήσω, ὁπότε θὰ εἶναι κοινὰ τὰ βιβλία τοῦ κοινοβίου καὶ θὰ δίνονται στὸν καθένα γιὰ νὰ διαβάζει. Τὸ ἴδιο σκέφτομαι καὶ γιὰ τὰ ἐνδύματα. Πές μου, πάτερ, ἐὰν πρέπει νὰ τὸ κάνω αὐτό, καὶ ποιά ἐνδύματα πρέπει νὰ κρατήσω γιὰ τὴν ἀσθένεια τοῦ σώματος.

Ἀπόκριση Ἰωάννη.

Ἐὰν θέλεις ν' ἀποκτήσεις αὐτά, εἶναι καλὸ νὰ κάνεις ἔτσι, ὅπως εἶπες, δηλαδὴ νὰ τὰ δώσεις στὸ κοινόβιο· διότι ὅλα τὰ πράγματα τοῦ κοινοβίου εἶναι τοῦ Θεοῦ. Ὅσο γιὰ τὰ ἐνδύματα ποὺ χρειάζεσαι, κράτησε γιὰ τὸ χειμώ-

βητωνάριον, καὶ εἰς τὸ θέρος δύο κολόβια ἐλαφρὰ καὶ ἓν λεβητωνάριον· καὶ πάλιν τῷ χειμῶνι θωράκιον, ὅταν γίνηται πάνυ ψύχρα· ἐὰν δὲ οὐ γίνηται, τὸ κουκούλιον. Καὶ μανδύα δύο· ἓν χειμερινὸν καὶ ἓν θερινόν. Καὶ δύο σκεπάσματα ὁμοίως, ἓν βαρὺ καὶ ἓν ἐλαφρόν· ἔχε καὶ τὸ τρίχινον καὶ τὸ προσκεφαλάδιον· χρῄζεις γὰρ αὐτῶν. Περὶ δὲ λανάτου, ἐὰν δέῃ αὐτοῦ, κράτει αὐτό. Καὶ ἐὰν ἔλθῃ σοι ἱμάτιον καὶ χρῄζεις αὐτοῦ, κράτει αὐτὸ καὶ δὸς ἀντ' αὐτοῦ τὸ παλαιὸν τῷ ἀββᾷ· ἐὰν δὲ οὐ χρῄζῃς τοῦ ἐρχομένου, ὡσαύτως δὸς αὐτὸ τῷ ἀββᾷ.

Ὁ Κύριος ἐνδυναμώσοι σε τοῦ ἀκοῦσαι καὶ ποιῆσαι. Αὕτη ἐστὶν ἡ κατὰ Θεὸν προκοπὴ καὶ διόρθωσις.

ΤΚΖ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Ἐπειδὴ εἰς τὴν διακονίαν ταύτην τοῦ νοσοκομείου ἐδοκιμάσατέ με εἶναι, δήλωσόν μοι, πάτερ, εἰ ὀφείλω ἀναγινώσκειν ἰατρικά τινα καὶ ἐπιτηδεύειν αὐτὰ δι' ἐμαυτοῦ ἢ μᾶλλον ἀμεριμνήσω ἀπὸ τῶν τοιούτων, ὡς περισπώντων τὸν νοῦν καὶ ἐκφύγω αὐτά, μήπως καὶ ὡς νήφοντί μοι γεννήσωσι κενοδοξίαν· ἀρκούμενος οἷς οἶδα λόγοις· καὶ ποιῶν ὅσα δι' ἐλαίου καὶ πυριῶν καὶ ἐπιχρισμάτων καὶ τῶν τοιούτων ἁπλῶς, εἰς ἃ καὶ οἱ μὴ ἀναγινώσκοντες ἐπιχειροῦσι. Τί οὖν ποιήσω; Τρέμει γὰρ ἡ καρδία μου εἰς τὴν διακονίαν ταύτην, μήπως ἁμάρτω ἐν αὐτῇ καὶ πρὸς τοῖς πάθεσι καὶ ἄλλας ἁμαρτίας πορίσωμαι.

να δύο στερεὰ κολόβια καὶ ἕνα λεβητωνάρι[76α], καὶ γιὰ τὸ θέρος δύο κολόβια ἐλαφρὰ καὶ ἕνα λεβητωνάρι. Καὶ ἐπίσης γιὰ τὸ χειμώνα ἕνα θωράκιο, ὅταν ὑπάρχει πολὺ κρύο, ἐὰν ὅμως δὲν κάνει πολὺ κρύο, τὸ κουκούλιο. Ἐπίσης καὶ δύο μανδύες· ἕνα χειμερινὸ καὶ ἕνα καλοκαιρινό. Ὅμοια καὶ δύο σκεπάσματα, ἕνα βαρὺ καὶ ἕνα ἐλαφρό· κράτησε καὶ τὸ τρίχινο καὶ τὸ προσκεφαλάδι, διότι τὰ χρειάζεσαι. Τὸ μάλλινο, ἐὰν τὸ χρειάζεσαι, κράτησέ το. Καὶ ἐὰν σοῦ ἔρθει ἔνδυμα καὶ τὸ χρειάζεσαι, κράτησέ το, καὶ δῶσε στὸν ἀββᾶ ἀντὶ γι' αὐτὸ τὸ παλαιό· ἐὰν ὅμως δὲν χρειάζεσαι τὸ ἔνδυμα ποὺ σοῦ στάλθηκε, δῶσε το αὐτὸ στὸν ἀββᾶ.

Εἴθε ὁ Κύριος νὰ σοῦ δώσει δύναμη, ὥστε νὰ τ' ἀκούσεις αὐτὰ καὶ νὰ τὰ κάνεις. Αὐτὴ εἶναι ἡ κατὰ Θεὸν προκοπὴ καὶ διόρθωση.

327

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Ἐπειδὴ μὲ ἀξιώσατε νὰ βρίσκομαι σ' αὐτὴ τὴ διακονία τοῦ νοσοκομείου, δήλωσέ μου, πάτερ, ἐὰν πρέπει νὰ διαβάζω μερικὰ ἰατρικὰ βιβλία καὶ νὰ τὰ μαθαίνω μόνος μου ἢ εἶναι προτιμότερο ν' ἀμεριμνήσω ἀπὸ αὐτά, ἐπειδὴ ἀποσποῦν τὸν νοῦ, καὶ νὰ τὰ ἀποφύγω, μήπως καὶ μοῦ γεννήσουν κενοδοξία, ὅτι τάχα νήφω, ἀρκούμενος στοὺς λόγους ποὺ γνωρίζω, καὶ νὰ παρέχω ἁπλῶς περιποίηση μὲ λάδι καὶ φωτιὰ καὶ ἐπιχρίσματα καὶ τὰ παρόμοια, τὰ ὁποῖα κάμνουν καὶ ἐκεῖνοι ποὺ δὲ διαβάζουν. Τί νὰ κάνω λοιπόν; Διότι τρέμει ἡ καρδιά μου σ' αὐτὴ τὴ διακονία, μήπως ἁμαρτήσω σ' αὐτὴ καὶ προσθέσω στὰ πάθη μου καὶ ἄλλες ἁμαρτίες.

76α. Λεβειτωνάρι· εἶναι μοναχικὸς χιτώνας φτιαγμένος ἀπὸ τρίχες.

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος.*

Επειδὴ οὔπω ἤλθομεν εἰς τελειότητα, ἵνα τελείως ἀπαλλαγῶμεν τῆς αἰχμαλωσίας τῶν παθῶν, συμφέρει μᾶλλον ἀδολεσχεῖν εἰς τὰ ἰατρικὰ ἢ γὰρ εἰς τὰ πάθη, ἀλλ' οὐκ ὀφείλομεν ἔχειν εἰς αὐτὰ τὴν ἐλπίδα, ἀλλ' εἰς τὸν θανατοῦντα καὶ ζωοποιοῦντα Θεόν, τὸν λέγοντα· «πατάξω, κἀγὼ ἰάσομαι». Ἀναγινώσκων οὖν αὐτὰ ἢ καὶ ἐρωτῶν τινας περὶ αὐτῶν, μὴ ἐπιλάθῃ ὅτι, ἄνευ Θεοῦ ἴασις οὐ γίνεταί τινι. Ὁ ἐπιβάλλων οὖν ἑαυτόν, ὀνόματι τοῦ Θεοῦ ἐπιβάλλειν ὀφείλει καὶ βοηθεῖ αὐτῷ. Ἡ ἰατρικὴ τέχνη οὐ κωλύει τινὰ θεοσεβεῖν, ἀλλ' ἔχε αὐτὴν ὡς τὰ ἐργόχειρα τῶν ἀδελφῶν.

Μετὰ φόβου Θεοῦ ποίει ὃ ποιεῖς καὶ φυλάττῃ εὐχαῖς ἁγίων. Ἀμήν.

ΤΚΗ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Ἐπειδὴ ἄλλοτέ μοι εἶπας, ὅτι καὶ ἐν τούτῳ κόπτει τις τὸ ἴδιον θέλημα, ἐν τῷ 'μὴ φιλονεικῆσαι στῆσαι τὸν ἴδιον λόγον'· τί οὖν, πάτερ, ὅτι προσφέρω πρᾶγμα ἀρρώστῳ ὡς ὠφέλιμον καὶ πολλάκις βλάπτει αὐτὸν καὶ θλίβομαι, ὡς θέλημα ἐν τούτῳ στήσας. Καὶ πάλιν βλέπω ὅτι ὅλην τὴν ἡμέραν ἐν τῷ περισπασμῷ εἰμι καὶ οὐ συγχωροῦμαι σχεδὸν μνημονεῦσαι τοῦ Θεοῦ· καὶ πάλιν ὀχλοῦμαι ὑπὸ τῆς γαστριμαργίας. Εἰπὲ οὖν μοι, τί ποιήσω; Πιστεύω γὰρ ὅτι ἔνθεν μοί ἐστιν ἡ σωτηρία.

Ἀπόκριση τοῦ μεγάλου Γέροντα.

Ἐπειδὴ δὲν φθάσαμε ἀκόμα στὴν τελειότητα, γιὰ νὰ ἀπαλλαγοῦμε ἐντελῶς ἀπὸ τὴν αἰχμαλωσία τῶν παθῶν, συμφέρει περισσότερο νὰ μελετᾶμε τὰ ἰατρικὰ παρὰ τὰ πάθη, ἀλλὰ δὲν πρέπει νὰ ἔχουμε τὴν ἐλπίδα σ' αὐτά, ἀλλὰ στὸ Θεὸ ποὺ θανατώνει καὶ ζωοποιεῖ, ποὺ λέγει· «ἐγὼ θὰ ἐπιφέρω τὸ χτύπημα καὶ ἐγὼ θὰ δώσω τὴ θεραπεία»[77]. Διαβάζοντας λοιπὸν αὐτὰ ἢ καὶ ἐρωτώντας μερικοὺς γι' αὐτά, μὴ ξεχνᾶς ὅτι δὲ γιατρεύεται κανεὶς χωρὶς τὴ βοήθεια τοῦ Θεοῦ. Αὐτὸς ποὺ ἐπιβάλλει λοιπὸν τὸν ἑαυτό του ὀφείλει νὰ τὸν ἐπιβάλλει στὸ ὄνομα τοῦ Θεοῦ, καὶ αὐτὸ τὸν βοηθᾶ. Ἡ ἰατρικὴ τέχνη δὲν ἐμποδίζει κάποιον νὰ θεοσεβεῖ, ἀλλὰ νὰ τὴν ἔχεις ὅπως τὰ ἐργόχειρα τῶν ἀδελφῶν.

Κάμνε μὲ φόβο Θεοῦ αὐτὸ ποὺ κάνεις καὶ θὰ προστατεύεσαι μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

328

Ἐρώτηση τοῦ ἰδίου.

Ἐπειδὴ ἄλλοτε μοῦ εἶπες, ὅτι κόβει κανεὶς τὸ θέλημά του καὶ μ' αὐτό, μὲ τὸ νὰ μὴ φιλονεικεῖ νὰ ἐπιβάλει τὸ λόγο του, τί γίνεται λοιπόν, πάτερ, ὅταν προσφέρω κάτι στὸν ἄρρωστο ὡς ὠφέλιμο καὶ πολλὲς φορὲς τὸν βλάπτει καὶ στενοχωριέμαι· θὰ θεωρηθεῖ ὅτι ἐπιβάλλω τὸ θέλημά μου; Καὶ πάλι, βλέπω ὅτι ὅλη τὴν ἡμέρα εἶμαι μέσα στὸν περισπασμὸ καὶ δὲν εὐκαιρῶ σχεδὸν νὰ μνημονεύσω τὸ Θεό. Ἐπίσης ἐνοχλοῦμαι ἀπὸ τὴ γαστριμαργία. Πές μου λοιπὸν τί νὰ κάνω; Διότι πιστεύω ὅτι ἀπὸ ἐδῶ ἐξαρτᾶται ἡ σωτηρία μου.

77.. Δευτ. 32,39.

Ἀπόκρισις Βαρσανουφίου.

Ἐὰν νομίζων, ὅτι τὸ πρᾶγμα τοῦτο συμβάλλεται τοῖς ἀσθενοῦσιν, ἱστὰς τὸν σὸν λόγον καὶ συμβῇ ἐκ τούτου βλάβη αὐτοῖς, ὁ Θεὸς προσέχων τῇ καρδίᾳ σου οὐ κατακρίνει σε. Οἶδε γὰρ ὅτι θέλων ὠφελῆσαι ἔβλαψας. Ἐὰν δέ τις ἔμπειρος εἴπῃ σοι καὶ καταφρονήσῃς ἀκοῦσαι αὐτοῦ, ὑπερηφανία ἐστὶ καὶ θέλημα. Πολλοὶ ἀκούουσιν ἀεὶ περὶ πόλεως καὶ συμβαίνει εἰσελθεῖν εἰς αὐτὴν μὴ γινώσκοντας, ὅτι αὕτη ἐστίν.

Ἀδελφέ, ὅλην τὴν ἡμέραν εἰς τὴν μνήμην εἶ τοῦ Θεοῦ καὶ οὐ γινώσκεις; Τὸ γὰρ ἔχειν ἐντολὴν καὶ σχολάσαι, φυλάξαι αὐτὴν καὶ ὑποταγή ἐστι καὶ μνήμη Θεοῦ. Καὶ καλῶς εἶπέ σοι ὁ ἀδελφὸς Ἰωάννης, ἔκβαλε πρῶτον τὰ φύλλα καὶ κελεύσει Θεοῦ ἐκβάλλεις καὶ τοὺς καρπούς. Μὴ εἰδὼς οὖν τὸ συμφέρον, ἐξακολούθησον τοῖς εἰδόσι· καὶ αὕτη ἐστὶν ἡ ταπείνωσις καὶ εὑρίσκεις τοῦ Θεοῦ τὴν χάριν. Καὶ καθὼς εἶπας ὅτι 'ἔνθεν μοι ἡ σωτηρία', καλῶς εἶπας τοῦτο· οὐκ ἦν γὰρ ἄνευ τοῦ Θεοῦ ἡ ἔλευσίς σου, ἀλλ' ὁ Θεὸς ὡδήγησέ σε. Ἐνδυναμώθητι ἐν Κυρίῳ, οὐ γὰρ μικρὸν κέρδος καρποῦσαι ἐκ τοῦ περισπασμοῦ οὗ λέγεις.

Καὶ πρὸς τὴν γαστριμαργίαν πύκτευσον ὡς δυνατὸν καὶ βοηθεῖ σοι ὁ Κύριος συνιέναι καὶ ποιῆσαι τὸ συμφέρον σοι.

Ἀνδρίζου καὶ ἴσχυε ἐν Κυρίῳ.

ΤΚΘ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Ἐπειδὴ εἶπας μοι ὅτι 'τὸ ἔχειν ἐντολὴν καὶ σχολάζειν ἐν αὐτῇ καὶ ὑποταγή ἐστι καὶ μνήμη Θεοῦ', παρακαλῶ καὶ τοῦτο μαθεῖν, εἰ δυνατὸν ἐν τῷ τοιούτῳ περισπασμῷ τῆς κατὰ Θεὸν διακονίας καὶ μεταξὺ ἀνθρώπων, ἔχειν αὐτὴν

Ἀπόκριση Βαρσανουφίου.

Εάν, νομίζοντας ὅτι αὐτὸ τὸ πρᾶγμα βοηθεῖ στοὺς ἀσθενεῖς, ἐπιβάλλεις τὸ λόγο σου καὶ συμβεῖ ἀπὸ αὐτὸ βλάβη σ' αὐτούς, ὁ Θεὸς ποὺ προσέχει τὴν καρδιά σου δὲ σὲ κατακρίνει. Διότι γνωρίζει ὅτι ἔβλαψες θέλοντας νὰ ὠφελήσεις. Ἐὰν ὅμως σοῦ μιλήσει κάποιος ἔμπειρος καὶ ἀπαξιώσεις νὰ τὸν ἀκούσεις, αὐτὸ εἶναι ὑπερηφάνεια καὶ θέλημα. Πολλοὶ ἀκοῦν πολλὲς φορὲς γιὰ μιὰ πόλη καὶ συμβαίνει νὰ μποῦν σ' αὐτὴ χωρὶς νὰ γνωρίζουν, ὅτι εἶναι αὐτή.

Ἀδελφέ, ὅλη τὴν ἡμέρα εἶσαι στὴ μνήμη τοῦ Θεοῦ καὶ δὲ τὸ γνωρίζεις; Διότι τὸ νὰ ἔχεις ἐντολὴ καὶ νὰ ἀσχολεῖσαι μὲ αὐτήν, φύλαξέ την, καὶ αὐτὸ εἶναι ὑποταγὴ καὶ ἀνάμνηση Θεοῦ. Καὶ σωστὰ σοῦ εἶπε ὁ ἀδελφὸς Ἰωάννης, βγάλε πρῶτα τὰ φύλλα καὶ μὲ τὴ διαταγὴ τοῦ Θεοῦ θὰ παράγεις καὶ τοὺς καρπούς. Ἐφόσον λοιπὸν δὲ γνωρίζεις τὸ συμφέρον, ἀκολούθησε ἐκείνους ποὺ τὸ γνωρίζουν· καὶ αὐτὴ εἶναι ἡ ταπείνωση, καὶ θὰ βρεῖς τὴ χάρη τοῦ Θεοῦ. Καὶ καθὼς εἶπες ὅτι 'ἀπὸ ἐδῶ ἐξαρτᾶται ἡ σωτηρία μου', σωστὰ τὸ εἶπες· διότι ὁ ἐρχομός σου δὲν ἦταν χωρὶς τὴ βοήθεια τοῦ Θεοῦ, ἀλλὰ ὁ Θεὸς σὲ ὁδήγησε. Γίνε δυνατὸς μὲ τὴ βοήθεια τοῦ Κυρίου, διότι δὲν καρποῦσαι μικρὸ κέρδος ἀπὸ τὸν περισπασμὸ ποὺ λέγεις.

Ἐπίσης ἀγωνίσου κατὰ τῆς γαστριμαργίας, ὅσο ἐπιτρέπουν οἱ δυνάμεις σου, καὶ ὁ Κύριος θὰ σὲ βοηθήσει νὰ καταλάβεις καὶ νὰ κάνεις τὸ συμφέρον σου.

Γίνε ἀνδρεῖος καὶ δυνατὸς μὲ τὴ βοήθεια τοῦ Κυρίου.

329

Ἐρώτηση τοῦ ἰδίου.

Ἐπειδὴ μοῦ εἶπες, 'τὸ νὰ ἔχεις ἐντολὴ καὶ νὰ ἀσχολεῖσαι μ' αὐτὴ εἶναι ὑποταγὴ καὶ ἀνάμνηση τοῦ Θεοῦ', παρακαλῶ νὰ μάθω καὶ αὐτό, ἐὰν εἶναι δυνατὸν μέσα σὲ τέτοιο περισπασμὸ τῆς διακονίας κατὰ Θεὸν καὶ τῆς συναναa-

τὴν μνήμην τοῦ Θεοῦ ἀδιάλειπτον. Καὶ εἰ δυνατόν ἐστιν, αἴτησόν μέ, πάτερ, εἴ τι συμφέρει μοι· πάντα γὰρ σοὶ καὶ Θεῷ δυνατά.

Ἀπόκρισις *Βαρσανουφίου.*

Περὶ τῆς ἀδιαλείπτου μνήμης κατὰ τοῦ ἑαυτοῦ μέτρον ἕκαστος δύναται· σὺ μόνον ταπεινώθητι, ἐγὼ γὰρ περισσότερόν σου οἶδα τί συμφέρει σοι καὶ αὐτὸ αἰτῶ σοι παρὰ Θεοῦ· ὅτι αὐτῷ πάντα δυνατά.

ΤΛ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Πάλιν προσπίπτω σοι, πάτερ εὔσπλαγχνε, καὶ οὐ παύσομαι ὀχλῶν, ἕως οὗ ἐνδυναμώσῃς με. Ὅταν γὰρ διὰ τῶν εὐχῶν ὑμῶν δώῃ μοι ὁ Θεὸς μικρὰν λύπην ἐπὶ τοῖς σφάλμασί μου, ἐγὼ κατὰ μικρὸν διὰ τοῦ ἔξωθεν μετεωρισμοῦ, ἀπόλλω αὐτήν. Δέομαι οὖν σου, πάτερ, καὶ αὐτὸ τοῦτο ἀσφάλισαί μοι, ἵνα ᾖ ὅλον τὸ ἔλεος τοῦ Θεοῦ καὶ ὑμῶν καὶ μὴ ἐξ ἐμοῦ τίποτε· οὐδὲν γὰρ ἰσχύω ὅλως, εἰ μὴ ἐνδυναμωθῶ διὰ τῶν εὐχῶν ὑμῶν.

Καὶ περὶ τῆς διοικήσεως τοῦ νοσοκομείου φοβοῦμαι, πάτερ, ὅτι ὡς αὐθεντία ἐστί, μήπως συνεργεῖ μοι πρὸς κενοδοξίαν καὶ παρρησίαν. Καὶ μεταχειρίζεσθαι συνεχῶς ὕλας βρωμάτων, εἰς τὴν γαστριμαργίαν εἰκὸς βαρύνειν με. Ἐὰν οὖν δοκιμάζητε, διὰ ταπεινοτέρου πράγματος προβιβασθῶ, καὶ ἐὰν ἐλαφρωθῶ μικρόν, πάλιν βάλλομαι εἰς τὴν διακονίαν. Οἶδας, πάτερ, οὐκ ἀκηδιάσας ἀπὸ τοῦ πράγματος ταῦτα λέγω· τί γὰρ ποιῶ ὁ ταλαίπωρος; ἀλλὰ

στροφῆς μὲ τοὺς ἀνθρώπους νὰ ἔχω ἀδιάλειπτη αὐτὴν τὴν ἀνάμνηση τοῦ Θεοῦ. Καὶ ἐὰν εἶναι δυνατό, ζήτησε γιὰ μένα ὅ,τι μὲ συμφέρει· διότι ὅλα εἶναι δυνατὰ σὲ σένα καὶ στὸ Θεό.

Ἀπόκριση Βαρσανουφίου.

Γιὰ τὴν ἀδιάλειπτη ἀνάμνηση ὁ καθένας μπορεῖ νὰ τὴν ἐπιτύχει ἀνάλογα μὲ τὸ μέτρο του. Ἐσὺ μόνο ταπεινώσου, διότι ἐγὼ γνωρίζω περισσότερο ἀπὸ σένα τί σὲ συμφέρει καὶ αὐτὸ ζητῶ ἀπὸ τὸν Θεό· διότι ὅλα εἶναι δυνατὰ σ' αὐτόν.

330

Ἐρώτηση τοῦ ἰδίου.

Πάλι σὲ παρακαλῶ, εὔσπλαγχνε πάτερ, καὶ δὲν θὰ σταματήσω νὰ σὲ ἐνοχλῶ, ὥς ποὺ νὰ μὲ ἐνδυναμώσεις. Διότι, ὅταν ὁ Θεὸς μὲ τὶς προσευχές σας μοῦ δίνει μικρὴ λύπη ἐξαιτίας τῶν σφαλμάτων μου, ἐγὼ σιγὰ σιγὰ μὲ τὸν ἀπ' ἔξω μετεωρισμὸ τὴν χάνω. Σὲ παρακαλῶ λοιπόν, πάτερ, ἐξασφάλισέ μου καὶ αὐτό, γιὰ νὰ εἶναι ὅλο τὸ ἔλεος τοῦ Θεοῦ καὶ δικό σας καὶ τίποτα νὰ μὴ προέρχεται ἀπὸ μένα· διότι, ἐὰν δὲν ἐνδυναμωθῶ μὲ τὶς προσευχές σας, δὲν ἔχω καθόλου δύναμη.

Ἐπίσης καὶ γιὰ τὴ διοίκηση τοῦ νοσοκομείου φοβᾶμαι, πάτερ, μήπως, ἐπειδὴ εἶναι ἀξίωμα, ὑποβοηθεῖ σὲ κενοδοξία καὶ παρρησία. Τὸ νὰ διαχειρίζομαι συνεχῶς ποσότητες φαγητῶν εἶναι φυσικὸ νὰ μὲ βαρύνει στὴ γαστριμαργία. Ἐὰν λοιπὸν κρίνετε σκόπιμο, ἂς ἀρχίσω ἀπὸ ταπεινόερο πρᾶγμα καὶ νὰ προβιβασθῶ, καὶ ἀφοῦ ἐλαφρωθῶ λίγο, πάλι νὰ ἐπιδοθῶ στὴ διακονία. Γνωρίζεις, πάτερ, ὅτι δὲν τὰ λέγω αὐτὰ ἐπειδὴ ἀδιαφορῶ γιὰ τὸ πρᾶγμα· διότι τί κάνω ὁ ταλαίπωρος; Ὅμως φοβᾶμαι, πάτερ,

φοβοῦμαι, πάτερ, μήπως κάθημαι παροξύνων τὰ πάθη μου ταῦτα, εἴτε ἐξ ἐμαυτοῦ, εἴτε ἐκ τῶν δαιμόνων νομίζω, οὐκ οἶδα. Σὺ δέ, πάτερ, τὸ θέλημα τοῦ Θεοῦ δήλωσόν μοι, καὶ ἐκ τῶν θορυβούντων με λογισμῶν ἐξάγαγε καὶ ἐνδυνάμωσόν με ταῖς εὐχαῖς σου, ποιῆσαι ὃ λέγεις καὶ συγχώρησόν μοι.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ακουσον, ἀδελφέ, καὶ πληροφορήθητι ἐκ Κυρίῳ, ὅτι ὁπότε ἐπετρέψαμέν σοι ἐλθεῖν εἰς τὸ πρᾶγμα τοῦτο, ἡ χεὶρ ἡμῶν καὶ ἡ καρδία μετὰ σοῦ ἐστι, μᾶλλον δὲ ἡ χεὶρ τοῦ Θεοῦ, τοῦ παρακαλουμένου ὑφ' ἡμῶν διὰ τῆς εὐχῆς ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς σου καὶ τῆς ἐνδυναμώσεως τῆς εἰς τὸ πρᾶγμα καὶ τῆς εὐδοκιμήσεως καὶ τῆς σκέπης τῆς ἐν αὐτῷ· οὐκ ἔνι σε ἄλλως σωθῆναι, ἢ οὕτως. Λοιπὸν μὴ ἀκηδιάσῃς, πίπτων, ἐγειρόμενος, σφαλλόμενος, μεμφόμενος σεαυτόν, ἕως ἂν ποιήσῃ Κύριος μετὰ σοῦ τὸ ἔλεος ὃ θέλεις, μόνον μὴ ἀμελήσῃς.

Θάρσει δὲ ὅτι ὁ καταστήσας σε Κύριος εἰς τὸ ἔργον τοῦτο, αὐτὸς οἰκονομήσει καὶ ἡμεῖς βαστάζομεν μετὰ σοῦ τὴν φροντίδα. Μὴ οὖν διὰ δικαιωμάτων πλανήσῃ σε ὁ διάβολος. Φησὶ γὰρ «διὰ χρηστολογίας καὶ εὐλογίας πλανῶσι τὰς καρδίας τῶν ἀκάκων». Ὁ καθιστῶν σε εἰς τὸ πρᾶγμα τοῦτο, αὐτός ἐστι τὸ πᾶν, ὁ εἰπὼν τοῖς μαθηταῖς αὐτοῦ, «ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς» καὶ πάλιν, «ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι».

Μὴ φοβοῦ καὶ μηδὲν μελετήσῃς ἀπὸ σαυτοῦ περὶ τοῦ νοσοκομείου, ἀκηδιῶν ἀπὸ τῆς φροντίδος τῆς ἀσθενείας. Ἐὰν γὰρ ἐννοήσῃς τὰ γραφέντα σοι, πρᾶγμα οὐκ ἔχεις· μόνον προσέχειν σεαυτῷ ὀφείλεις κατὰ τὴν δύναμίν σου καὶ ὁ Θεὸς συναντιλαμβάνεταί σου.

---

78. Ρωμ. 16,18.

μήπως κάθομαι παροξύνοντας τὰ πάθη μου αὐτὰ εἴτε ἀπὸ μόνος μου εἴτε ἀπὸ τοὺς δαίμονες, νομίζω, δὲν γνωρίζω. Ἐσὺ ὅμως, πάτερ, δήλωσέ μου τὸ θέλημα τοῦ Θεοῦ καὶ βγάλε με ἀπὸ τοὺς λογισμοὺς ποὺ μὲ θορυβοῦν καὶ ἐνδυνάμωσέ με μὲ τὶς προσευχές σου γιὰ νὰ κάνω αὐτὸ ποὺ λέγεις, καὶ συγχώρεσέ με.

Απόκριση Βαρσανουφίου.

Ακουσε, ἀδελφέ, καὶ πληροφορήσου στὸ ὄνομα τοῦ Κυρίου, ὅτι ἀπὸ τότε ποὺ σοῦ ἐπιτρέψαμε νὰ ἀσκήσεις αὐτὴ τὴν ὑπηρεσία, τὸ χέρι μας καὶ ἡ καρδιά μας εἶναι μαζί σου, ἢ καλύτερα τὸ χέρι τοῦ Θεοῦ, ποὺ παρακαλεῖται ἀπὸ μᾶς μὲ τὴν προσευχὴ γιὰ σωτηρία τῆς ψυχῆς σου καὶ γιὰ τὴν ἐνδυνάμωσή σου στὴν ὑπηρεσία, καθὼς καὶ γιὰ τὴν εὐδοκίμηση καὶ τὴν προστασία σ' αὐτήν· δὲν εἶναι δυνατὸν νὰ σωθεῖς διαφορετικά, παρὰ μ' αὐτὸ τὸν τρόπο. Μὴ κυριευθεῖς λοιπὸν ἀπὸ ἀδιαφορία, πέφτοντας, σηκωνόμενος, σφάλλοντας καὶ κατακρίνοντας τὸν ἑαυτό σου, ὡς ποὺ ὁ Κύριος νὰ χαρίσει σὲ σένα τὸ ἔλεος ποὺ θέλεις· μόνο μὴν ἀμελήσεις.

Ἔχε θάρρος, διότι ὁ Κύριος, ποὺ σὲ ἔβαλε σ' αὐτὸ τὸ ἔργο, αὐτὸς θὰ γίνει ρυθμιστὴς αὐτοῦ καὶ ἐμεῖς βαστάζουμε τὴ φροντίδα μαζί σου. Νὰ μὴ σὲ πλανήσει λοιπὸν ὁ διάβολος μὲ ἐντολές. Διότι λέγει «μὲ χρηστολογίες καὶ εὐλογίες πλανοῦν τὶς καρδιὲς τῶν ἀκάκων»[78]. Αὐτὸς ποὺ σὲ τοποθετεῖ σ' αὐτὸ τὸ πρᾶγμα, αὐτὸς εἶναι τὸ πᾶν, αὐτὸς ποὺ εἶπε στοὺς μαθητές του, «νά, ἐγὼ σᾶς στέλνω»[79], καὶ πάλι, «νά, ἐγὼ εἶμαι μαζί σας»[80].

Μὴ φοβᾶσαι καὶ μὴ σκεφθεῖς τίποτε ἀπὸ μόνος σου γιὰ τὸ νοσοκομεῖο, καὶ ἀδιαφορήσεις γιὰ τὴ φροντίδα τῆς ἀσθένειας. Διότι, ἐὰν κατανοήσεις αὐτὰ ποὺ σοῦ γράφω, δὲν ἔχεις εὐθύνη· μόνο ὀφείλεις νὰ προσέχεις τὸν ἑαυτό σου μὲ ὅλη τὴ δύναμή σου, καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσει.

---

79. Ματθ. 10,5.
80. Μαρκ. 6,50.

Ἔρρωσο ἐν Κυρίῳ, ἐνδυναμούμενος ἐν αὐτῷ.

ΤΛΑ΄

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον Γέροντα.*

Ἐὰν σφαλῶσιν οἱ μετ᾽ ἐμοῦ ἀδελφοί, πῶς ἄνευ ταραχῆς διορθώσομαι αὐτούς;

***Ἀπόκρισις** Ἰωάννου.*

Εὰν προτυπώσῃς τὸ θέλημα τοῦ Θεοῦ ἐν τῇ καρδίᾳ σου, οὐ ταράττῃ, ἀλλ᾽ ἕξιν ποιεῖς ὡς οἱ πατέρες. Ἐὰν δὲ μὴ προσέχῃς καὶ συναρπαγῇς ὡς ἄνθρωπος, εἰπὲ τῷ Θεῷ μετανοῶν, 'συγχώρησόν μοι, Δέσποτα, καὶ ἐλέησόν με'. Καὶ εἰπὲ τοῖς μετὰ σοῦ· 'βλέπετε, ἀδελφοί, ὅτι ἐκ τούτου κατακρινόμεθα καὶ ἀπόλλομεν τὰς ψυχὰς ἡμῶν'· καὶ μὴ πράξῃς πάνυ, ἀλλ᾽ ἱκανῶς, εἰς ἀκοὴν ὠτίου. Καὶ ἐὰν συντριβῇς ἐν τούτοις, ἔρχεται ἡ κατὰ Θεὸν κατάστασις.

ΤΛΒ΄

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Παρακαλῶ σε, πάτερ, εἰπέ μοι πῶς ὀφείλει εἶναι ὁ τρόπος τῆς διορθώσεως, καὶ πότε χρὴ μωροποιεῖν ἢ ὡς μωρὸν ποιεῖν ἑαυτὸν καὶ παρορᾶν τὸ γινόμενον; Καὶ ἐὰν ἡττηθῶ ἐν τῷ πράγματι, εἰ ὀφείλω ἐν αὐτῷ δεσμὸν ὁρίσαι.

***Ἀπόκρισις** Ἰωάννου.*

Πρὸς τοὺς ἀνθρώπους ποίει ἀεί, ἐὰν οἶδας ὅτι συνετός ἐστι καὶ δέχεται, διὰ νουθεσίας λέγε αὐτῷ· 'ἀδελφέ, ἐὰν ἀμελῶς ποιῶμεν τὸ ἔργον τοῦ Θεοῦ, ἀπώλειά ἐστι ψυχῆς'. Ἄρτι καλῶς ἐγένετο τοῦτο; σπούδασον ἀπὸ τοῦ νῦν.

Γίνε δυνατὸς μὲ τὴ βοήθεια τοῦ Κυρίου, ἐνδυναμούμενος πλησίον αὐτοῦ.

331

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Ἐὰν σφάλλουν οἱ ἀδελφοὶ ποὺ εἶναι μαζί μου, πῶς θὰ τοὺς διορθώσω χωρὶς ταραχή;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν προτυπώσεις τὸ θέλημα τοῦ Θεοῦ στὴν καρδιά σου, δὲν θὰ ταράζεσαι, ἀλλὰ θὰ συνηθίσεις ὅπως οἱ πατέρες. Ἐὰν ὅμως δὲν προσέχεις καὶ συναρπαγεῖς σὰν ἄνθρωπος, μετανοώντας, πὲς στὸ Θεό, 'συγχώρεσέ με, Δέσποτα, καὶ ἐλέησέ με'. Καὶ πὲς σ' αὐτοὺς ποὺ εἶναι μαζί σου· 'βλέπετε, ἀδελφοί, ὅτι ἀπὸ αὐτὸ κατακρινόμαστε καὶ χάνουμε τὶς ψυχές μας'· καὶ νὰ μὴ ἐπιμείνεις πολύ, ἀλλὰ τόσο μόνο, ὅσο γιὰ νὰ τὸ ἀκούσουν τὰ αὐτιά τους. Καὶ ἐὰν συντριβεῖς γι' αὐτά, ἔρχεται ἡ κατὰ Θεὸν κατάσταση.

332

Ἐρώτηση τοῦ ἰδίου.

Σὲ παρακαλῶ, πάτερ, πές μου, ποιός πρέπει νὰ εἶναι ὁ τρόπος τῆς διορθώσεως καὶ πότε πρέπει νὰ μωροφέρνω; ἢ πρέπει νὰ παριστάνω τὸν μωρὸ καὶ νὰ παραβλέπω ὅ,τι γίνεται; Καὶ ἐὰν τυχὸν νικηθῶ σ' ἕνα θέμα, ἐὰν πρέπει νὰ ὁρίσω δεσμὸ γι' αὐτό.

Ἀπόκριση Ἰωάννη.

Πρὸς τοὺς ἀνθρώπους νὰ φέρεσαι πάντοτε ὡς ἑξῆς. Ἐὰν γνωρίζεις ὅτι εἶναι κάποιος συνετὸς καὶ δέχεται νουθεσίες, λέγε του μὲ νουθεσία· 'ἀδελφέ, ἐὰν κάνουμε μὲ ἀμέλεια τὸ ἔργο τοῦ Θεοῦ, ὁδηγεῖ στὴν ἀπώλεια τῆς ψυχῆς'.

Ἐὰν δὲ ᾖ ἀσύνετος, εἰπὲ αὐτῷ· 'πίστευσον, ἀδελφέ, χρείαν ἔχεις παιδευθῆναι ὅτι οὕτως ἀμελεῖς· ἐὰν εἴπω τῷ ἀββᾶ, καλῶς σε παιδεύει'.

Περὶ δὲ τοῦ μωροποιεῖν, πρὸς τὸ σφάλμα ποίει· ἐὰν μικρὸν ᾖ, μωροποίησον· εἰ δὲ μέγα, μὴ μωροποιήσῃς.

Μὴ βάλῃς δεσμὸν κατὰ σοῦ περὶ τῆς ἥττης, μηδὲ καταφρονήσῃς· ὅταν ἔρχῃ εἰς αὐτὴν παρακάλεσον τὸν Θεὸν συγχωρῆσαί σοι, ἐπεὶ ἀμέλεια γίνεται.

ΤΛΓ'

Ἐρώτησις *αὐτοῦ.*

Ἐὰν δὲ σφαλέντος τῶν ἀδελφῶν τινος ἢ αὐτῶν τῶν ἀρρώστων, θέλων διορθώσασθαι αὐτὸν μετὰ ταραχῆς εἴπω τὸν λόγον, ἆρα ὀφείλω βαλεῖν αὐτὸν μετάνοιαν; ἐὰν δὲ καὶ ὀργισθεὶς ἀπέλθῃ τοῦ νοσοκομείου, τί ποιήσω; Καθόλου δὲ ἐπὶ ποίοις ἁμαρτήμασι δεῖ μετάνοιαν βάλλειν; ὅτι ἡ ὑπερηφανία καὶ τὸ δικαίωμα σκοτίζουσι τὸν νοῦν· ἐὰν δέ τις βάλῃ, ἡ κενοδοξία πάλιν ἀκολουθεῖ.

Ἀπόκρισις *Ἰωάννου.*

Μετὰ ταραχῆς μηδὲν λαλήσῃς, τὸ κακὸν γὰρ καλὸν οὐ γεννᾷ, ἀλλὰ μακροθύμησον, ἕως οὗ παύσεται ὁ λογισμὸς καὶ τότε λαλήσεις εἰρηνικῶς, κἂν μὲν πεισθῇ, ἰδοὺ καλῶς, εἰ δὲ μή, λέγεις αὐτῷ· 'εἰ θέλεις λέγω τῷ ἀββᾷ, καὶ εἴ τι δοκιμάζει ποιοῦμεν', καὶ οὕτως ἀναπαύῃ. Ἐὰν δὲ ὀργισθεὶς ἀπέλθῃ, εἰπὲ τῷ ἀββᾷ καὶ ἐπιτιμᾷ αὐτόν. Μὴ βάλῃς δὲ αὐτῷ μετάνοιαν, ἐπεὶ παρέχεις αὐτῷ ὑποψίαν, ὅτι ἀληθῶς ἁμαρτία ἐστὶ καὶ πολεμεῖ σε πλέον.

Ἔγινε στὴν ἀρχὴ σωστὰ αὐτό; Φρόντισε τὸ ἴδιο καὶ στὸ ἑξῆς. Ἐὰν ὅμως εἶναι ἀσύνετος, πές του· 'ἀδελφέ, πίστεψε ὅτι ἔχεις ἀνάγκη νὰ παιδευθεῖς, ἐπειδὴ ἀμελεῖς τόσο πολύ· ἐὰν τὸ πῶ στὸν ἀββᾶ, θὰ σὲ παιδέψει σωστά'.

Ὅσο γιὰ τὴ μωροποιΐα, κάμνε ἀνάλογα μὲ τὸ σφάλμα· ἐὰν εἶναι μικρὸ κάμε τὸν μωρό· ἐὰν ὅμως εἶναι μεγάλο, μὴ ἐνεργήσεις σὰν μωρός.

Γιὰ τὴν ἧττα πάλι, μὴ βάλεις δεσμὸ ἐναντίον σου, οὔτε νὰ τὴν περιφρονήσεις. Ὅταν καταντᾶς σ' αὐτή, παρακάλεσε τὸ Θεὸ νὰ σὲ συγχωρήσει, διότι γίνεται ἀμέλεια.

333

Ἐρώτηση τοῦ ἰδίου.

Ὅταν σφάλει κάποιος ἀπὸ τοὺς ἀδελφοὺς ἢ ἀπὸ τοὺς ἀρρώστους, ἐάν, θέλοντας νὰ τὸν διορθώσω, πῶ τὸν λόγο μὲ ταραχή, ἄραγε ὀφείλω νὰ τοῦ βάλω μετάνοια; Ἐὰν πάλι ὀργισθεῖ καὶ φύγει ἀπὸ τὸ νοσοκομεῖο, τί κάνω; Γενικὰ γιὰ ποιές ἁμαρτίες πρέπει νὰ βάλλω μετάνοια; διότι ἡ ὑπερηφάνεια καὶ ἡ αὐτοδικαίωση σκοτίζουν τὸν νοῦ, καὶ ἐὰν κάποιος μετανοήσει, ἡ κενοδοξία τὸν ἀκολουθεῖ πάλι.

Ἀπόκριση Ἰωάννη.

Τίποτε νὰ μὴ πεῖς μὲ ταραχή, διότι τὸ κακὸ δὲν γεννᾶ καλό, ἀλλὰ μακροθύμησε, ὡς ποὺ νὰ σταματήσει ὁ λογισμὸς καὶ τότε νὰ μιλήσεις εἰρηνικά· καὶ ἐὰν πεισθεῖ, ἔχει καλῶς, διαφορετικά, τοῦ λέγεις· 'ἐὰν θέλεις νὰ τὸ πῶ στὸν ἀββᾶ καὶ ὅ,τι κρίνει ἐκεῖνος θὰ τὸ κάνουμε', καὶ ἔτσι θ' ἀναπαυθεῖς. Ἐὰν ὅμως ἀπομακρυνθεῖ ἀπὸ ὀργή, πές το στὸν ἀββᾶ καὶ θὰ τὸν ἐπιτιμήσει ἐκεῖνος. Μὴ κάνεις μετάνοια σ' αὐτόν, διότι τοῦ δίνεις τὴν ὑποψία, ὅτι ἡ ἐνέργειά σου εἶναι ἀληθινὰ ἁμαρτία, καὶ σὲ πολεμεῖ περισσότερο.

Ἐπὶ δὲ τῶν ἄλλων ἀνθρώπων, πρὸς ὃ βλέπεις τὴν ἁμαρτίαν, ποίησον μετὰ σπουδῆς· ἐὰν ᾖ μέγα τὸ σφάλμα, μετάνοιαν βάλε· ἐὰν δὲ μικρόν, εἰπὲ αὐτῷ στόματι τῇ μετανοίᾳ τῆς καρδίας, 'συγχώρησόν μοι, ἀδελφέ'. Φυλάττου δὲ τὴν ὑπερηφανίαν καὶ τὸ δικαίωμα· κωλύουσι γὰρ τὴν μετάνοιαν. Ἔστι δὲ καὶ ἀπὸ κενοδοξίας βαλεῖν.

Καταφρονῶν οὖν τῶν τριῶν τούτων, βάλε ὅπου χρὴ μετὰ ταπεινώσεως καὶ φόβου Θεοῦ καὶ διακρίσεως καὶ εἰς ταῦτα ποίησον τὴν δύναμιν. Καὶ ὁ Θεὸς βοηθεῖ σοι εὐχαῖς ἁγίων.

ΤΛΔ'

Ἐρώτησις

Ἐὰν ἐν τῷ καιρῷ τῆς ὑπηρεσίας τῶν ἀρρώστων φθάσῃ ἡ ὥρα τῆς ψαλμῳδίας ἢ τῆς ἁγίας Προσκομιδῆς, ἢ ἄλλη χρεία, καὶ ἴσασιν οἱ μετ' ἐμὲ ἀδελφοὶ δοῦναι ἑκάστῳ, κελεύεις ἵνα ἀπέλθω, ἢ βάρος μού ἐστιν; ἐὰν δὲ καὶ ἐν τῷ κελλίῳ θέλω καθίσαι, ὅτε οὐκ ἔστι μοι χρεία ἐν τῷ νοσοκομείῳ, ἐπιτρέπεις τοῦτο, πάτερ, ἢ οὔ;

Ἀπόκρισις

Ἐὰν οἱ ἀδελφοὶ ἴσασιν, οὐκ ἔστι σοι βάρος τὸ ἀπελθεῖν, οὔτε δὲ τὸ καθίσαι εἰς τὸ κελλίον σου, μόνον ἐπισκέπτου τοὺς ἀρρώστους.

ΤΛΕ'

Ἐρώτησις

Ἐὰν δῷ τινι ποτὲ κατὰ χρείαν αὐτοῦ, καὶ ὁρῶ ὅτι ἡ σκνιφεία ὀχλεῖ μοι, ὥστε μὴ δύνασθαι δοῦναι, δώσω αὐτῷ

Στὴν περίπτωση τῶν ἄλλων ἀνθρώπων, σὲ ὅποιον βλέπεις τὴν ἁμαρτία, ἐνέργησε μὲ προσοχή· ἐὰν τὸ σφάλμα εἶναι μεγάλο, βάλε μετάνοια· ἐὰν εἶναι μικρό, πές του μὲ τὸ στόμα τὴ μετάνοια τῆς καρδιᾶς, 'συγχώρεσέ με, ἀδελφέ'. Φυλάξου ὅμως ἀπὸ τὴν ὑπερηφάνεια καὶ τὴν αὐτοδικαίωση, διότι ἐμποδίζουν τὴν μετάνοια. Εἶναι δυνατὸ νὰ βάλεις μετάνοια καὶ ἀπὸ κενοδοξία.

Περιφρονώντας λοιπὸν αὐτὰ τὰ τρία, βάλε μετάνοια, ὅπου πρέπει, μὲ ταπείνωση καὶ φόβο Θεοῦ καὶ διάκριση καὶ κάνε τα ὅλα αὐτὰ μὲ ὅλη τὴ δύναμή σου. Καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσει μὲ τὶς προσευχὲς τῶν ἁγίων.

334

Ἐρώτηση

Ἐὰν κατὰ τὴ διάρκεια τῆς ὑπηρεσίας τῶν ἀρρώστων φθάσει ἡ ὥρα τῆς ψαλμωδίας ἢ τῆς ἁγίας προσκομιδῆς, ἢ ἄλλη ἀνάγκη, καὶ γνωρίζουν οἱ ἀδελφοὶ ποὺ εἶναι μαζί μου νὰ δώσουν στὸν καθένα ἐκεῖνα ποὺ χρειάζονται, διατάζεις νὰ φύγω ἢ εἶναι βάρος μου; Ἐὰν πάλι θέλω νὰ καθήσω στὸ κελλί, ὅταν δὲν μὲ χρειάζεται τὸ νοσοκομεῖο, τὸ ἐπιτρέπεις αὐτό, πάτερ, ἢ ὄχι;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν οἱ ἀδελφοὶ γνωρίζουν, δὲν εἶναι βάρος γιὰ σένα τὸ νὰ φύγεις, οὔτε τὸ νὰ καθίσεις στὸ κελλί σου· μόνο νὰ ἐπισκέπτεσαι τοὺς ἀρρώστους.

335

Ἐρώτηση

Ἐὰν κάποτε δώσω σὲ κάποιον πράγματα σύμφωνα μὲ τὴν ἀνάγκη του καὶ βλέπω ὅτι μὲ ἐνοχλεῖ ἡ ἀνέχεια, ὥστε νὰ

ἔλαττον τῆς χρείας, ἢ μόνον σπουδάσω μὴ δοῦναι ἔλαττον τῆς χρείας; Ἐὰν δὲ καὶ κατ' αἰσχύνην ὡς ἀπὸ ἀνθρωπαρεσκείας ἢ κενοδοξίας θέλει ὁ λογισμὸς δοῦναι περισσόν, ἆρα διὰ τὸ πάθος δώσω παραμικρόν; ἢ τὴν χρείαν διὰ τὴν ἐντολήν;

Ἀπόκρισις Ἰωάννου.

Ἐὰν θλίβῃ σε ἡ σκνιφεία δοῦναι τὴν χρείαν τῷ πλησίον, πρὸς τὸ πρᾶγμα ποίησον· ἐὰν ἔχῃς πολύ, δὸς ὀλίγον περισσόν· ἐὰν δὲ ὀλίγον, τὴν χρείαν δὸς μετὰ ἀκριβείας. Ἐὰν κατὰ κενοδοξίαν ἢ ἀνθρωπαρέσκειαν θέλῃς δοῦναι, μὴ δῷς ὕπερ, ἀλλὰ τὴν χρείαν ὡσαύτως μετὰ ἀκριβείας.

Ὁ Θεὸς συνετίσοι τὴν καρδίαν σου, ἀδελφέ.

ΤΛΣΤ'

Ἐρώτησις

Ἐὰν ἐμπέσῃ μοι σκεῦος καὶ χρῄζω αὐτοῦ εἰς τὸ νοσοκομεῖον καὶ βλέπω ὅτι ἔχω προσπάθειαν εἰς αὐτό, ἆρα μὴ πάθος μοί ἐστιν, ἐὰν λάβω αὐτό;

Ἀπόκρισις Ἰωάννου.

Ἐὰν χρῄζῃς τοῦ σκεύους καὶ πολεμῇ σοι ὁ λογισμὸς εἰς αὐτό, εἰπὲ τῷ λογισμῷ, 'χρεία ἐστὶν αὐτοῦ, καὶ διατί κατ' ἐπιθυμίαν;' Καὶ ἐὰν παύσηται ἀπὸ σοῦ τὸ πάθος, λάβε αὐτό· εἰδὲ μή, ἐὰν ᾖ δυνατὸν τὴν χρείαν γενέσθαι δι' ἄλλου σκεύους ποίησον καὶ καταπόνησον τὸ πάθος. Εἰ δὲ οὐκ ἐνδέχεται, λάβε τὸ σκεῦος, μεμφόμενος σεαυτὸν καὶ λέγων· 'εἰ μὴ διὰ τὴν χρείαν, οὐκ εἶχον αὐτὸ λαβεῖν· διότι ἡττήθην τῇ ἐπιθυμίᾳ.

μὴ μπορῶ νὰ δώσω, νὰ τοῦ δώσω λιγώτερο ἀπὸ ἐκεῖνο ποὺ χρειάζεται, ἢ νὰ φροντίσω μόνο νὰ μὴ τοῦ δώσω λιγώτερο ἀπὸ ἐκεῖνο ποὺ χρειάζεται; Καὶ ἂν ἀπὸ ντροπή, σὰν ἀπὸ ἀνθρωπαρέσκεια ἢ κενοδοξία, ὁ λογισμὸς θέλει νὰ δώσω περισσότερο, ἄραγε ἐξαιτίας τοῦ πάθους νὰ δώσω λίγο περισσότερο; ἢ μόνο τὰ ἀναγκαῖα λόγω τῆς ἐντολῆς;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν σὲ στενοχωρεῖ ἡ ἀνέχεια νὰ δώσεις στὸν πλησίον ἐκεῖνα ποὺ χρειάζεται, κάνε ἀνάλογα μὲ τὴν περίπτωση· ἐὰν ἔχεις πολύ, δῶσε λίγο περισσότερο· ἐὰν λίγο, δῶσε ἀκριβῶς ἐκεῖνο ποὺ χρειάζεται. Ἐὰν θέλεις νὰ δώσεις ἀπὸ κενοδοξία ἢ ἀνθρωπαρέσκεια, μὴ δώσεις περισσότερο, ἀλλὰ πάλι ἀκριβῶς ἐκεῖνο ποὺ χρειάζεται.

Εἴθε ὁ Θεὸς νὰ συνετίσει τὴν καρδιά σου, ἀδελφέ.

336

Ἐρώτηση

Ἐὰν μοῦ τύχει ἕνα σκεῦος καὶ τὸ χρειάζομαι στὸ νοσοκομεῖο καὶ βλέπω ὅτι ἔχω πόθο γι' αὐτό, μήπως ἄραγε μοῦ εἶναι πάθος νὰ τὸ πάρω;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν χρειάζεσαι τὸ σκεῦος καὶ σὲ πολεμεῖ ὁ λογισμὸς σ' αὐτό, πὲς στὸ λογισμό, 'αὐτὸ μοῦ χρειάζεται, γιατί λοιπὸν νὰ τὸ ποθῶ;' Καὶ ἐὰν σοῦ σταματήσει τὸ πάθος, πάρε το, ἀλλιῶς, ἐὰν εἶναι δυνατὸ νὰ ἱκανοποιηθεῖ ἡ ἀνάγκη μὲ ἄλλο σκεῦος, ἐνέργησε ἀνάλογα καὶ διῶξε τὸ πάθος. Ἐὰν δὲν ὑποχωρεῖ, πάρε τὸ σκεῦος, κατακρίνοντας τὸν ἑαυτό σου καὶ λέγοντας· 'ἐὰν δὲν ἦταν γιὰ τὴν ἀνάγκη, δὲν ἔπρεπε νὰ τὸ πάρω· διότι νικήθηκα ἀπὸ τὴν ἐπιθυμία'.

ΤΛΖ'

Ἐρώτησις

Τίς ποτε ἐχαρίσατό μοι ἱμάτιον, κἀγὼ ὡς μετὰ χαρᾶς ἐδεξάμην μηδὲν ἀντειπών· καὶ ἐρευνήσας ἐμαυτόν, εὗρον ὅτι οὐχ ὡς χρήζων ἔλαβον, ἀλλὰ μᾶλλον κατὰ πλεονεξίαν· καὶ λέγει μοι ὁ λογισμός μου, 'ἀπόστρεψον αὐτό'. Τί οὖν κελεύεις ποιήσω;

Ἀπόκρισις

Ἐπαινέσωμεν τὸν ἀπὸ ψυχῆς παρασχόντα καὶ ψέξωμεν τὸν ἀπὸ ψυχῆς λαβόντα, καὶ φορέσωμεν αὐτὸ μετὰ ταπεινώσεως, κατακρίνοντες ἑαυτούς. Καὶ τοῦ λοιποῦ φυλαξώμεθα ἀπὸ τῆς πλεονεξίας.

ΤΛΗ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Ἐὰν συμβῇ τινα θέλειν παρασχεῖν μοι πρᾶγμα καὶ χρήζω αὐτοῦ, βλέπω δὲ τὴν καρδίαν μου, ὡς πρὸς πάθος θέλουσαν αὐτὸ δέξασθαι, τί ποιήσω; Λάβω διὰ τὴν χρείαν, ἢ παραιτήσωμαι διὰ τὴν προσπάθειαν;

Ἀπόκρισις *Ἰωάννου.*

Ὅταν, ἀφοῦ προσευχηθεῖς καὶ ἐπιτύχεις, ὑψηλοφρονήσεις, εἶναι φανερό, ὅτι οὔτε προσευχήθηκες ὅπως ἀρέσει στὸ Θεό, οὔτε ἔλαβες τὴ βοήθεια ἀπὸ τὸ Θεό, ἀλλὰ ἐνεργήθηκες ἀπὸ τοὺς δαίμονες, γιὰ νὰ ἀλαζονευθεῖ ἡ καρδιά σου. Διότι, ὅταν ἡ ἐπιτυχία προέρχεται ἀπὸ τὸ Θεό, δὲν ὑψηλοφρονεῖ ἡ ψυχή, ἀλλὰ μᾶλλον δείχνει ταπεινοφροσύνη, καὶ θαυμάζει τὸ μεγάλο ἔλεος τοῦ Θεοῦ, πῶς καταδέχεται νὰ ἐλεεῖ τοὺς ἁμαρτωλούς, ἐνῶ εἶναι ἀνάξιοι καὶ πάντα τὸν ἐξοργίζουν. Καὶ ὑπερευχαριστεῖ τὴν ἔνδοξη καὶ ἀπερίγραπτη ἀγαθό-

---

91. Β' Κορ. 6,16.
92. Σοφ. Σολ. 1,4.

ἡμῶν παραδίδωσιν ἡμᾶς, ἀλλ' ἐν τῇ πολλῇ αὐτοῦ ἀνεξικακίᾳ μακροθυμεῖ καὶ ἐλεεῖ, καὶ οὐκ ἔτι ἐπαίρεται, ἀλλὰ τρέμει καὶ δοξολογεῖ.

ΥΚΒ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Εἶπας, πάτερ, ὅτε περὶ τῆς μακροθυμίας ἠρώτησα, ὅτι 'καὶ αὕτη καὶ πᾶν ἀγαθὸν ἔργον δωρεὰ τοῦ Θεοῦ ἐστι'· καὶ νῦν περὶ τῆς προσευχῆς εἶπας ὅτι 'οὐκ ἔστιν ἐκ Θεοῦ βοήθεια'. Σαφήνισον οὖν μοι, παρακαλῶ, τίς ἡ τούτων διαφορά;

Ἀπόκρισις

Ἐὰν ἐξ ἀρχῆς μὲν κατὰ κενοδοξίαν ἐγένετο τὸ ἀγαθὸν ἔργον, ἤγουν, ἡ προσευχή, διαβολικὸν ἀναμφιβόλως ἐστίν. Ἐὰν δὲ τὴν μὲν ἀρχὴν οὐκ ἔσχες τὴν κενοδοξίαν, ὕστερον δὲ ἐδέξω αὐτήν, ἐνταῦθα τὸ καλῶς γενόμενον κατέστρεψας διὰ τὴν κενοδοξίαν, ὥσπερ ὁ τοῖχον οἰκοδομῶν, καὶ στραφεὶς καταλύων αὐτόν. Ἐὰν δὲ ἡ κενοδοξία ἐπολέμει, αὐτὸς δὲ οὐ προσεδέξω, οὐδέν σε ἔβλαψεν.

ΥΚΓ'

Ἐρώτησις

Πολλάκις, ὅτε ψάλλω, αἰσθάνομαι ἐμαυτὸν ὡς ὑψηλοφρονοῦντα. Τί οὖν ὀφείλω εἰπεῖν τῷ λογισμῷ;

τητά του, διότι δὲν μᾶς παραδίδει στὴν καταστροφὴ σύμφωνα μὲ τὶς ἁμαρτίες μας, ἀλλὰ μὲ τὴ μεγάλη ἀνεξικακία του δείχνει μακροθυμία καὶ εὐσπλαχνία, καὶ δὲν ὑψηλοφρονεῖ πλέον, ἀλλὰ τρέμει καὶ δοξολογεῖ.

422

Ἐρώτηση

Πάτερ, ὅταν ἐρώτησα γιὰ τὴ μακροθυμία, εἶπες ὅτι 'καὶ αὐτὴ καὶ κάθε ἀγαθὸ ἔργο εἶναι δωρεὰ τοῦ Θεοῦ'· καὶ τώρα εἶπες γιὰ τὴν προσευχὴ ὅτι 'δὲν ὑπάρχει βοήθεια ἀπὸ τὸ Θεό'. Σὲ παρακαλῶ λοιπόν, διασαφήνισέ μου, ποιά εἶναι ἡ διαφορά τους.

Ἀπόκριση

Ἂν τὸ ἀγαθὸ ἔργο, δηλαδὴ ἡ προσευχή, ἔγινε ἐξαρχῆς μὲ κενοδοξία, εἶναι ἀναμφίβολα διαβολικὸ ἔργο. Ἂν ὅμως στὴν ἀρχὴ δὲν εἶχες τὴν κενοδοξία, καὶ τὴ δέχθηκες ὕστερα, τότε κατέστρεψες ἐξαιτίας τῆς κενοδοξίας ἐκεῖνο ποὺ ἔγινε καλά, ὅπως ἐκεῖνος ποὺ οἰκοδομεῖ ἕναν τοῖχο, ἀλλὰ στρέφεται καὶ τὸν γκρεμίζει. Ἂν ὅμως ἡ κενοδοξία σὲ πολεμοῦσε, ἀλλὰ ἐσὺ δὲν τὴν δέχθηκες, δὲν σὲ ἔβλαψε σὲ τίποτε.

423

Ἐρώτηση

Πολλὲς φορές, ὅταν ψάλλω, αἰσθάνομαι τὸν ἑαυτό μου σὰν νὰ ὑψηλοφρονεῖ· τί πρέπει λοιπὸν νὰ πῶ στὸ λογισμό;

Ἀπόκρισις

Ότε ὑψοῦται ἡ καρδία ἐν τῇ ψαλμῳδίᾳ, μιμνήσκου ὅτι γέγραπται, «οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς» («παραπικράναι» δέ ἐστι, τὸ μὴ ψάλλειν συνετῶς κατὰ φόβον Θεοῦ), καὶ ἐρεύνησον, εἰ μὴ ρέμβεται ὁ λογισμός σου ἐν τῷ ψάλλειν· καὶ πάντως εὑρήσεις ὅτι ρέμβεται, καὶ παροξύνεις τὸν Θεόν.

ΥΚΔ΄

Ἐρώτησις

Ὅτε βαροῦμαι ἐν τοῖς λογισμοῖς, εἴτε ἐν τῇ ψαλμῳδίᾳ, εἴτε χωρὶς ψαλμῳδίας, καὶ ἐπικαλοῦμαι τὸ ὄνομα τοῦ Θεοῦ εἰς βοήθειαν, ὑποτίθεταί μοι ὁ ἐχθρὸς ὅτι ἔπαρσιν ἔχει, ὡς δοκοῦν καλὸν ποιεῖν ἐν τῇ ἀδιαλείπτῳ μνήμῃ τοῦ Θεοῦ. Πῶς οὖν δεῖ ἔχειν περὶ τούτου;

Ἀπόκρισις

Οἴδαμεν, ὅτι οἱ κακῶς ἔχοντες πάντοτε χρήζουσι τοῦ ἰατροῦ καὶ τῶν αὐτοῦ φαρμάκων· καὶ οἱ χειμαζόμενοι ἀδιαλείπτως προστρέχουσι τῷ λιμένι, μήποτε καταλάβῃ αὐτοὺς ναυάγιον. Διὰ τοῦτο γὰρ βοᾷ καὶ ὁ προφήτης λέγων· «Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ»· καὶ πάλιν, «ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα». Εἰ δὲ καταφυγὴ ἡμῶν ἐστι, μνησθῶμεν, ὅτι λέγει, «ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με».

Μάθωμεν οὖν ὅτι στηκούσης τῆς θλίψεως, ἐπικαλεῖσθαι δεῖ ἀδιαλείπτως τὸν ἐλεήμονα Θεόν· ἐπικαλούμενοι δὲ τὸ ὄνομα τοῦ Θεοῦ, μὴ ἐπαρθῶμεν τῷ λογισμῷ. Ἐὰν γὰρ μὴ ᾖ τις ἄφρων, ἐκδικούμενος ὑπό τινος οὐκ ἐπαίρεται. Οἱ οὖν χρήζον-

---

93. Ψαλμ. 65,7. 94. Ψαλμ. 89,1. 95. Ψαλμ. 45,1.

'Απόκριση

Όταν ὑψώνεται ἡ καρδιὰ κατὰ τὴν ψαλμωδία, θυμήσου ὅτι ἔχει γραφεῖ, «αὐτοὶ ποὺ μὲ παραπικραίνουν, νὰ μὴ ὑψηλοφρονοῦν»[93] (τὸ 'παραπικραίνω' σημαίνει νὰ μὴ ψάλλει κανεὶς συνετὰ σύμφωνα μὲ τὸ φόβο τοῦ Θεοῦ). Ἐρεύνησε λοιπόν, ἂν δὲν ὀνειροπολεῖ ὁ λογισμός σου κατὰ τὴν ψαλμωδία· καὶ ὁπωσδήποτε θὰ βρεῖς ὅτι ὀνειροπολεῖ, καὶ παροργίζεις τὸ Θεό.

424

'Ερώτηση

Ὅταν βαραίνομαι στοὺς λογισμούς, εἴτε κατὰ τὴν ψαλμωδία, εἴτε χωρὶς ψαλμωδία, καὶ ἐπικαλοῦμαι τὸ ὄνομα τοῦ Θεοῦ γιὰ βοήθεια, ὁ ἐχθρὸς μοῦ ὑποβάλλει ὅτι ὑπάρχει σ' αὐτὸ ἔπαρση, ἐπειδὴ φαίνεται ὅτι πετυχαίνω καλὸ μὲ τὴν ἀδιάλειπτη ἀνάμνηση τοῦ Θεοῦ. Πῶς λοιπὸν πρέπει νὰ τὸ ἐκλαμβάνω αὐτό;

'Απόκριση

Γνωρίζομε ὅτι οἱ ἀσθενεῖς πάντα χρειάζονται τὸ γιατρὸ καὶ τὰ φάρμακά του· καὶ οἱ θαλασσοδαρμένοι προστρέχουν ἀδιάλειπτα στὸ λιμάνι, γιὰ νὰ μὴ τοὺς πιάσει ναυάγιο. Γι' αὐτὸ βέβαια φωνάζει καὶ ὁ προφήτης καὶ λέγει· «Κύριε, μᾶς ἔγινες καταφυγὴ καὶ δύναμη, βοηθὸς στὶς θλίψεις ποὺ μᾶς βρῆκαν»[95]. Ἐὰν ὅμως εἶναι καταφυγή μας, ἂς θυμηθοῦμε ὅτι λέγει· «νὰ μὲ ἐπικαλεσθεῖς τὴν ἡμέρα τῆς θλίψεώς σου, καὶ ἐγὼ θὰ τρέξω σὲ σένα καὶ θὰ μὲ δοξάσεις»[96].

Ἂς μάθουμε λοιπὸν ὅτι, ὅταν ὑπάρχει θλίψη, πρέπει νὰ ἐπικαλούμαστε ἀδιάλειπτα τὸν ἐλεήμονα Θεό· ὅταν ἐπικαλούμαστε ὅμως τὸ ὄνομα τοῦ Θεοῦ, νὰ μὴ ὑψηλοφρονήσουμε στὸ λογισμό. Διότι, ἐὰν κανεὶς δὲν εἶναι ἄφρονας, δὲν ὑψηλοφρονεῖ

96. Ψαλμ. 49,15.

τες τοῦ Θεοῦ, ἐπικαλώμεθα τὸ ὄνομα αὐτοῦ εἰς βοήθειαν κατὰ τῶν ἐναντίων. Καὶ ἐὰν μὴ παραφρονῶμεν, οὐκ ὀφείλομεν ἐπαίρεσθαι τῷ λογισμῷ· χρῄζοντες γὰρ ἐπικαλούμεθα, καὶ θλιβόμενοι προσφεύγομεν. Ἐπὶ δὲ τούτοις πᾶσι μανθάνομεν, ὅτι τὸ ἀδιαλείπτως ὀνομάζειν τὸν Θεόν, φάρμακόν ἐστιν ἀναιρετικόν, οὐ μόνον πάντων τῶν παθῶν, ἀλλὰ καὶ αὐτῆς τῆς πράξεως. Καθὼς γὰρ ὑποβάλλει ὁ ἰατρὸς τὸ φάρμακον, εἴτε ἔμπλαστρον, ἐπάνω τοῦ τραύματος τοῦ πάσχοντος καὶ ἐνεργεῖ, μὴ εἰδότος τοῦ ἀρρωστοῦντος τὸ πῶς, οὕτω καὶ τὸ ὄνομα τοῦ Θεοῦ ὀνομαζόμενον ἀναιρεῖ, καὶ ἡμῶν μὴ εἰδότων τὸ πῶς, πάντα τὰ πάθη.

ΥΚΕ'

Ἐρώτησις

Ὅτε δοκεῖ ἡσυχάζειν ὁ λογισμὸς καὶ ἄθλιπτος εἶναι, ἆρα οὐκ ἔστι καλόν, καὶ τότε ἀδολεσχεῖν ἐν τῇ ἐπικλήσει τοῦ ὀνόματος τοῦ Δεσπότου Χριστοῦ; Ἐπειδὴ ὑποτίθεταί μοι ὁ λογισμός, ὅτι νῦν ἀφ' οὗ εἰρηνεύομεν, οὐ χρεία ἐστὶ τούτου.

Ἀπόκρισις

Οὐκ ὀφείλομεν ἔχειν τοιαύτην εἰρήνην, ἐὰν ἔχωμεν ἑαυτοὺς ἁμαρτωλούς· φησὶ γάρ, «οὐκ ἔστιν εἰρήνη τοῖς ἁμαρτωλοῖς», λέγει Κύριος. Εἰ οὖν οὐκ ἔστιν εἰρήνη τοῖς ἁμαρτωλοῖς, αὕτη ποία εἰρήνη ἐστί; Φοβηθῶμεν ὅτι γέγραπται, «ὅταν λέγωσιν εἰρήνη καὶ ἀσφάλεια, αἰφνίδιος ἐφίσταται αὐτοῖς ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ

ὅταν ἐκδικεῖται ἀπὸ κάποιον. Ὅσοι λοιπὸν χρειαζόμαστε τὸ Θεό, ἂς ἐπικαλούμαστε τὸ ὄνομά του γιὰ βοήθεια κατὰ τῶν ἐχθρῶν. Καὶ ἂν δὲν παραφρονοῦμε, δὲν πρέπει νὰ ὑψηλοφρονήσουμε στὸ λογισμό· διότι τὸν ἐπικαλούμαστε, ἐπειδὴ ἔχουμε ἀνάγκη, καὶ καταφεύγουμε σ' αὐτὸν ἐπειδὴ θλιβόμαστε. Καὶ ἐκτὸς ἀπὸ ὅλα αὐτὰ μαθαίνουμε, ὅτι τὸ νὰ ἐπικαλεῖσαι ἀδιάλειπτα τὸ Θεό, εἶναι φάρμακο ἀναιρετικό, ὄχι μόνο ὅλων τῶν παθῶν, ἀλλὰ καὶ αὐτῆς τῆς πράξεως. Ὅπως δηλαδὴ ὁ γιατρὸς βάζει τὸ φάρμακο ἢ τὸ ἔμπλαστρο πάνω στὸ τραῦμα τοῦ ἀσθενοῦς καὶ αὐτὸ ἐνεργεῖ χωρὶς ὁ ἄρρωστος νὰ γνωρίζει τὸ πῶς, ἔτσι καὶ τὸ ὄνομα τοῦ Θεοῦ ἐπικαλούμενο ἀναιρεῖ ὅλα τὰ πάθη, χωρὶς ἐμεῖς νὰ γνωρίζουμε τὸ πῶς.

425

Ἐρώτηση

Ὅταν φαίνεται νὰ ἡσυχάζει ὁ λογισμός, καὶ εἶναι χωρὶς ψλίψη, ἄραγε εἶναι καλὸ τότε νὰ ἀσχολούμαστε μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Δεσπότη Χριστοῦ; Ἐπειδὴ ὁ λογισμός μοῦ λέγει ὅτι τώρα, ἀφοῦ εἰρηνεύουμε, δὲν ὑπάρχει ἀνάγκη αὐτοῦ.

Ἀπόκριση

Δὲν πρέπει νὰ ἔχουμε τέτοια εἰρήνη, ἐὰν θεωροῦμε τοὺς ἑαυτούς μας ἁμαρτωλούς· διότι λέγει ὁ Κύριος, «δὲν ὑπάρχει εἰρήνη στοὺς ἁμαρτωλούς»[97]. Ἐὰν λοιπὸν δὲν ὑπάρχει εἰρήνη στοὺς ἁμαρτωλούς, αὐτὴ ποιά εἰρήνη εἶναι; Ἂς φοβηθοῦμε, διότι ἔχει γραφεῖ· «ὅταν λέγουν ὅτι ὑπάρχει εἰρήνη καὶ ἀσφάλεια, ἐπέρχεται αἰφνίδιος ὄλεθρος σ' αὐτούς, ὅπως ὁ

97. Παρβ. Ψαλμ 37,3.

ἐκφεύξωνται». Ἔνι δὲ ὅτε καὶ κατὰ πανουργίαν ποιοῦσιν οἱ ἐχθροὶ τῷ ἡσυχάσαι τὴν καρδίαν μικρόν, ὥστε μὴ ἐπικαλέσασθαι τὸ ὄνομα τοῦ Θεοῦ· οὐκ ἀγνοοῦσι γὰρ ὅτι ἐκνευρίζονται ἀπὸ τῆς ἐπικλήσεως αὐτοῦ.

Εἰδότες οὖν μὴ παυσώμεθα ἐπικαλούμενοι τὸ ὄνομα τοῦ Θεοῦ εἰς βοήθειαν· αὕτη γὰρ εὐχή ἐστι· καί φησιν, «ἀδιαλείπτως προσεύχεσθε»· τὸ δὲ «ἀδιαλείπτως» πέρας ἢ μέτρον οὐκ ἔχει.

ΥΚΣΤ'

Ἐρώτησις

Ὅταν ἐπαινῶσι με οἱ ἄνθρωποι ἢ ὁ λογισμὸς ἐν τῇ καρδίᾳ καὶ ὁρῶ ἐμαυτὸν βαρούμενον ἐξ αὐτοῦ, τί ὀφείλω ποιῆσαι πρὸς αὐτόν;

Ἀπόκρισις

Ὅταν ἐπαινῇ σε ὁ λογισμὸς καὶ οὐ δύνασαι ἀβλαβῶς παρελθεῖν αὐτόν, σπούδασον ἐπικαλέσασθαι τὸ ὄνομα τοῦ Θεοῦ καὶ εἰπὲ αὐτῷ· 'γέγραπται· «λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν»'.

Ὅτι δὲ ὁ ἔπαινος οὗτος, ἀδελφέ, οὐδέν ἐστιν, ἀλλ' ἀπάτη, βοᾷ ὁ προφήτης λέγων, ὅτι «πᾶς ἄνθρωπος χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου»· καὶ ὅτι ὁ δεχόμενος ἔπαινον ἀνθρώπων οὐκ ὠφελεῖται, φησὶν αὐτὸς ὁ Δεσπότης· «πῶς δύνασθε πιστεύειν εἰς ἐμέ, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες;».

---

98. Α' Θεσ. 5,3.
99. Α' Θεσ. 5,17

ἀνυπόφορος πόνος τῆς ἐγκυμοσύνης, καὶ δὲν θὰ ξεφύγουν»[98]. Μερικὲς φορὲς καὶ μὲ πανουργία οἱ ἐχθροὶ κάνουν τὴν καρδιὰ νὰ ἡσυχάσει λίγο, ὥστε νὰ μὴ ἐπικαλεσθεῖ τὸ ὄνομα τοῦ Θεοῦ· διότι δὲν ἀγνοοῦν ὅτι ἐκνευρίζονται ἀπὸ τὴν ἐπίκληση αὐτοῦ.

Γνωρίζοντας λοιπὸν αὐτό, ἂς μὴ σταματήσουμε νὰ ἐπικαλούμαστε τὸ ὄνομα τοῦ Θεοῦ γιὰ βοήθεια, διότι αὐτὴ εἶναι προσευχή, ἀφοῦ λέγει, «νὰ προσεύχεσθε ἀδιάλειπτα»[99], καὶ τὸ ἀδιάλειπτο δὲν ἔχει τέλος ἢ μέτρο.

426

Ἐρώτηση

Ὅταν μὲ ἐπαινοῦν οἱ ἄνθρωποι ἢ ὁ λογισμός μου μέσα στὴν καρδιὰ καὶ βλέπω τὸν ἑαυτό μου νὰ βαρύνεται ἀπὸ αὐτά, τί πρέπει νὰ τοῦ κάνω;

Ἀπόκριση

Όταν σὲ ἐπαινεῖ ὁ λογισμὸς καὶ δὲν μπορεῖς νὰ τὸν περάσεις χωρὶς βλάβη, φρόντισε νὰ ἐπικαλεσθεῖς τὸ ὄνομα τοῦ Θεοῦ καὶ πές του· ‘ἔχει γραφεῖ, «λαέ μου, ὅποιοι σᾶς μακαρίζουν σᾶς πλανοῦν καὶ ταράσσουν τὸ πάτημα τῶν ποδιῶν σας»[1]’.

Τὸ ὅτι ὁ ἔπαινος αὐτός, ἀδελφέ, δὲν εἶναι τίποτε ἄλλο, παρὰ ἀπάτη, τὸ φροντοφωνάζει ὁ προφήτης ποὺ λέγει· «κάθε ἄνθρωπος εἶναι χόρτο καὶ κάθε δόξα ἀνθρώπου μοιάζει μὲ ἄνθος χόρτου»[1α]. Καὶ ὅτι ὅποιος δέχεται ἔπαινο ἀνθρώπων δὲν ὠφελεῖται, λέγει ὁ ἴδιος ὁ Δεσπότης· «πῶς μπορεῖτε νὰ πιστεύετε σὲ μένα, ἀφοῦ δέχεσθε δόξα ἀπὸ τοὺς ἀνθρώπους;»[2]. Ἐὰν ὅμως γίνεται κάτι σύμφωνα μὲ τὸ Θεό, πρέπει νὰ θυμόμαστε

1. Ἡσ. 3,12.
1α. Ἰακ. 1,10.
2. Ἰω. 5,44.

Εἴ τι δὲ κατὰ Θεὸν γίνεται, ὀφείλομεν μνημονεύειν, ὅτι «ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω»· καὶ γὰρ ὁ Ἀπόστολος φθάσας εἰς μεγάλα μέτρα, εἰς ἑαυτὸν οὐκ ἐκαυχᾶτο, ἀλλ᾽ ἐβόα, λέγων, «χάριτι δὲ Θεοῦ εἰμι, ὅ εἰμι».

Αὐτῷ γὰρ ἀληθῶς ἡ δόξα καὶ ἡ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥΚΖ΄

Ἐρώτησις

Ἐὰν οὖν ψάλλω ἢ προσεύχομαι ἢ ἀναγινώσκω καὶ ἀνακύψῃ ἄτοπος λογισμός, κατανοήσω αὐτὸν καὶ διακόψω τὴν ψαλμῳδίαν ἢ τὴν προσευχὴν ἢ τὴν ἀνάγνωσιν, ἵνα καὶ διὰ τῶν τοιούτων λογισμῶν ἀντιπράξω αὐτῷ;

Ἀπόκρισις

Καταφρόνησον αὐτοῦ καὶ πρόσεχε μετὰ ἀκριβείας τῇ ψαλμῳδίᾳ καὶ τῇ προσευχῇ καὶ τῇ ἀναγνώσει, τοῦ δύνασθαι δύναμιν λαβεῖν ἀπὸ τῶν λεγομένων· ἐὰν γὰρ ἀνασχώμεθα σχολάζειν τοῖς λογισμοῖς τοῦ ἐχθροῦ, οὐδέποτε ἔχομέν τι ἀγαθὸν πρᾶξαι, ὅπερ ἐκεῖνος πραγματεύεται. Καὶ ὅταν βλέπῃς τὴν αὐτῶν συνοχὴν τοιαύτην οὖσαν, ὥστε καὶ παρεμποδίσαι τῇ ψαλμῳδίᾳ ἢ τῇ προσευχῇ ἢ τῇ ἀναγνώσει, μηδὲ οὕτως ἀντιφιλονεικήσῃς αὐτοῖς· οὐκ ἔστι γὰρ τοῦτο τῆς σῆς δυνάμεως. Ἀλλὰ σπούδασον ἐπικαλέσασθαι τὸ ὄνομα τοῦ Θεοῦ, καὶ ἔρχεται εἰς σὴν βοήθειαν καὶ καταργεῖ τὰ μηχανήματα τῶν ἐχθρῶν.

Αὐτοῦ γὰρ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν

καυχιέται, ἂς καυχιέται στὸ ὄνομα τοῦ Κυρίου»[3]. Διότι καὶ ὁ Ἀπόστολος, ποὺ ἔφθασε σὲ μεγάλα μέτρα, δὲν καυχιόταν γιὰ τὸν ἑαυτό του, ἀλλὰ φώναζε, λέγοντας· «μὲ τὴ χάρη τοῦ Θεοῦ εἶμαι αὐτὸ ποὺ εἶμαι»[4].

Σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ μεγαλοπρέπεια στοὺς αἰῶνες. Γένοιτο.

427

Ἐρώτηση

Ἂν λοιπὸν ψάλλω ἢ προσεύχομαι ἢ διαβάζω, καὶ προκύψει παράλογος λογισμός, πρέπει νὰ τὸν ἐξετάσω καὶ νὰ διακόψω τὴν ψαλμωδία ἢ τὴν προσευχὴ ἢ τὴν ἀνάγνωση, ὥστε νὰ ἀντιπράξω μ' αὐτοὺς τοὺς λογισμοὺς σ' αὐτὸν τὸν ἄτοπο;

Ἀπόκριση

Περιφρόνησέ τον καὶ πρόσεχε μὲ ἀκρίβεια τὴν ψαλμωδία καὶ τὴν προσευχὴ καὶ τὴν ἀνάγνωση, ὥστε νὰ μπορέσεις νὰ πάρεις δύναμη ἀπὸ αὐτὰ ποὺ λέγονται· διότι, ἐὰν ἀπασχοληθοῦμε μὲ τοὺς λογισμοὺς τοῦ ἐχθροῦ, δὲ θὰ μπορέσουμε ποτὲ νὰ κάνουμε κάτι καλό, πρᾶγμα ποὺ ἐπιζητεῖ ἐκεῖνος. Καὶ ὅταν βλέπεις τὴ συνοχή τους νὰ εἶναι τέτοια, ὥστε νὰ παρεμποδίζουν τὴν ψαλμωδία ἢ τὴν προσευχὴ ἢ τὴν ἀνάγνωση, οὔτε τότε νὰ μὴ ἀντιφιλονεικήσεις μ' αὐτούς· διότι αὐτὸ δὲν ἀνήκει στὴ δική σου δύναμη. Ἀλλὰ φρόντισε νὰ ἐπικαλεσθεῖς τὸ ὄνομα τοῦ Θεοῦ καὶ θὰ σοῦ ἔρθει βοήθεια καὶ θὰ καταργήσει τὶς μηχανορραφίες τῶν ἐχθρῶν. Διότι ἡ δύναμη καὶ ἡ δόξα εἶναι δική του στοὺς αἰῶνες. Γένοιτο.

---

3. Α' Κορ. 1,31.
4. Α' Κορ. 15,10.

ΥΚΗ'

Ἐρώτησις

Πῶς τις κτᾶται κατάνυξιν ἐν προσευχῇ καὶ ἀναγνώσει καὶ ψαλμῳδίᾳ;

Ἀπόκρισις

Ἡ κατάνυξις ἀπὸ τοῦ ἐνδελεχισμοῦ τῆς ὑπομνήσεως ἔρχεται τῷ ἀνθρώπῳ. Ὅτε οὖν προσεύχεταί τις, ὀφείλει προσευχόμενος ἀγαγεῖν τὰς πράξεις αὐτοῦ εἰς τὴν ἰδίαν μνήμην καὶ πῶς κρίνονται οἱ τὰ τοιαῦτα πράττοντες καὶ τὴν φωνὴν τὴν φοβεράν, ὅτι «πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον» καὶ τὰ λοιπά. Μνήμην δὲ ἁμαρτιῶν λέγω, οὐχὶ ἑκάστης, μήποτε καὶ διὰ παρενθέτου εἰσενέγκῃ ὁ ὑπεναντίος ἄλλην αἰχμαλωσίαν, ἀλλὰ τὸ μνησθῆναι μόνον, ὅτι κατάχρεοί ἐσμεν ἁμαρτιῶν. Καὶ μετὰ ταῦτα ἐὰν ἐμμείνῃ σκληρότης μὴ ἐνδώσωμεν· γίνεται γὰρ πολλάκις παρὰ τοῦ Θεοῦ ἡ ἀνοχὴ εἰς δοκιμασίαν ἀνθρώπου, εἰ ὑπομείνῃ.

Καὶ περὶ τῆς ἀναγνώσεως καὶ τῆς ψαλμῳδίας, τὸ γρηγορῆσαι τὸν νοῦν αὐτοῦ εἰς τὰ ὑπ' αὐτοῦ λεγόμενα καὶ ἀναλαβεῖν εἰς τὴν ἑαυτοῦ ψυχὴν τὴν δύναμιν τὴν ἐν αὐτοῖς ἐγκειμένην. Ἐὰν μὲν περὶ ἀγαθῶν, ἵνα ζηλώσῃ εἰς τὸ ἀγαθόν, ἐὰν δὲ περὶ ἀνταποδόσεως κακῶν, ἵνα φύγῃ τὴν προσδοκωμένην ἀπειλὴν τοῖς τὰ κακὰ πράττουσι. Καὶ ἐμμένων ἐν ταῖς αὐτῶν ὑπομνήσεσι, μὴ ἐνδώσῃς ἐπιμενούσης τῆς σκηρότητος· ἐλεήμων γάρ ἐστι καὶ οἰκτίρμων ὁ Θεὸς καὶ μακρόθυμος, προσδεχόμενος ἡμῶν τὴν σπουδήν. Μνημόνευε δὲ ἀεὶ τοῦ λέγοντος Ψαλμῳδοῦ, «ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι» καὶ τὰ λοιπά.

Ἀδολεσχῶν δὲ ἐν τούτοις, ἔλπισον ὅτι καταλαμβάνει σε τὰ ἐλέη τοῦ Θεοῦ διὰ τάχους.

428

Ἐρώτηση

Πῶς ἀποκτᾶ κανεὶς κατάνυξη στὴν προσευχή, στὴν ἀνάγνωση καὶ τὴν ψαλμωδία;

Ἀπόκριση

Η κατάνυξη ἔρχεται στὸν ἄνθρωπο μὲ τὸ ἀδιάλειπτο τῆς ὑπομνήσεως. Ὅταν λοιπὸν προσεύχεται κάποιος, ὀφείλει προσευχόμενος νὰ ὁδηγεῖ τὶς πράξεις του στὴ μνήμη του, καὶ τὸ πῶς κρίνονται ἐκεῖνοι ποὺ κάνουν αὐτὰ καὶ τὴ φοβερὴ φωνή, «φύγετε ἀπὸ μένα σεῖς οἱ καταραμένοι στὸ πῦρ τὸ αἰώνιο»[5] καὶ τὰ λοιπά. Καὶ θύμιση ἁμαρτιῶν ἐννοῶ ὄχι τὴν καθεμιὰ χωριστά, μὴ τυχὸν ὁ ἐχθρός, παρεμβάλοντας ἄλλη σκέψη, τὸν ὁδηγήσει σὲ ἄλλη αἰχμαλωσία, ἀλλὰ τὸ νὰ θυμηθεῖ μόνο, ὅτι εἴμαστε γεμᾶτοι μὲ ἁμαρτίες. Καὶ μετὰ ἀπὸ αὐτά, ἂν ἐπιμείνει ἡ σκληρότητα, ἂς μὴ ὑποχωρήσουμε· διότι ἡ ἀνοχὴ πολλὲς φορὲς δείχνεται ἀπὸ τὸ Θεὸ πρὸς δοκιμασία τοῦ ἀνθρώπου, ἂν θὰ ὑπομείνει.

Ὡς πρὸς τὴν ἀνάγνωση καὶ τὴν ψαλμωδία, ἡ κατάνυξη ἀποκτᾶται μὲ τὸ νὰ ἀγρυπνεῖ ὁ νοῦς του σ' ἐκεῖνα ποὺ λέγονται ἀπὸ αὐτόν, καὶ νὰ βάλει στὴν ψυχή του τὴ δύναμη ποὺ βρίσκεται σ' αὐτὰ τὰ λόγια. Ἐὰν γίνεται λόγος γιὰ ἀγαθά, νὰ μιμηθεῖ τὸ ἀγαθό· ἐὰν γίνεται γιὰ ἀνταπόδοση κακῶν, ν' ἀποφύγει τὴν προσδοκώμενη ἀπειλὴ ἐκείνων ποὺ πράττουν τὰ κακά. Καὶ ἐπιμένοντας στὶς ἐνθυμήσεις αὐτῶν, νὰ μὴ ὑποχωρήσεις στὴν ἐπιμονὴ τῆς σκληρότητας· διότι ὁ Θεὸς εἶναι ἐλεήμων καὶ οἰκτίρμων καὶ μακρόθυμος καὶ ἀποδέχεται τὴν προσπάθειά μας. Καὶ νὰ θυμᾶσαι πάντοτε τὸν ψαλμωδὸ ποὺ λέγει, «μὲ ὑπομονὴ χωρὶς διακοπὴ ὑπέμεινα τὸν Κύριο καὶ μὲ πρόσεξε»[6] καὶ τὰ λοιπά.

---

5. Ματθ. 25,41.
6. Ψαλμ. 39,1.

ΥΚΘ'

Ἐρώτησις

Ὅτε ζητῶ μετὰ ἀκριβείας προσέχειν τῇ δυνάμει τῶν ῥημάτων τοῦ Ψαλμῳδοῦ, συμβαίνει πολλάκις ἐξ αὐτῶν γενέσθαι μοι πονηροὺς λογισμούς.

Ἀπόκρισις

Ἐὰν ἴδῃς ὅτι ἀπ' αὐτῶν τῶν ῥημάτων τῆς ψαλμῳδίας ἐμηχανήσατο ὁ ἐχθρὸς παρασχεῖν σοι πόλεμον, οὐ χρὴ μετὰ ἀκριβείας καταλαβεῖν τὴν δύναμιν τῶν λεγομένων, ἀλλὰ νηφόντως καὶ ἀρεμβάστως αὐτὰ ψάλλειν. Κἂν γὰρ αὐτὰ λέγῃς μόνον, οἱ ἐχθροὶ τὴν δύναμιν αὐτῶν ἴσασι καὶ οὐ δύνανταί σοι ἀντιστῆναι· καὶ γίνεταί σοι ἡ ψαλμῳδία ἀντὶ ἱκεσίας πρὸς τὸν Θεὸν καὶ εἰς κατάργημα τῶν ἐχθρῶν.

ΥΛ'

Ἐρώτησις

Ἐὰν ἐν τῇ ψαλμῳδίᾳ ὦ ἢ μετὰ ἀνθρώπων καὶ θλίβωμαι ἐκ τῶν λογισμῶν καὶ ὀνομάσω τὸν Θεὸν ἐν τῇ καρδίᾳ, μὴ δυνάμενος ἐν τῷ στόματι, ἢ καὶ μνησθῶ αὐτοῦ μόνον, ἆρα οὐκ ἐξαρκεῖ μοι τοῦτο εἰς βοήθειαν;

Ἀπόκρισις

Ἐὰν στήκοντός σου ἐν τῷ καιρῷ τῆς ψαλμῳδίας ἢ μετὰ ἀνθρώπων, ἔλθῃ σοι ὀνομάσαι τὸν Θεόν, μὴ νομίσῃς ὅτι, ἐὰν μὴ εἴπῃς στόματι, οὐκ ὀνομάζεις αὐτόν· ἀλλὰ μιμνήσκου, ὅτι καρδιογνώστης ἐστὶ καὶ εἰς καρδίαν προσέχει·

Ἀσχολούμενος λοιπὸν ἐπίμονα μ' αὐτά, ἔλπισε ὅτι τὰ ἐλέη τοῦ Θεοῦ θὰ φθάσουν γρήγορα σὲ σένα.

429

Ἐρώτηση

Ὅταν προσπαθῶ νὰ προσέξω μὲ ἀκρίβεια τὴ δύναμη τῶν λόγων τοῦ ψαλμωδοῦ, συμβαίνει πολλὲς φορὲς νὰ μοῦ γεννιοῦνται ἀπὸ αὐτὰ πονηροὶ λογισμοί.

Ἀπόκριση

Ἐὰν δεῖς ὅτι ὁ ἐχθρὸς μηχανεύθηκε νὰ σοῦ δώσει πόλεμο ἀπὸ τὰ ἴδια τὰ λόγια τῆς ψαλμωδίας, δὲν πρέπει νὰ ἀναζητεῖς μὲ ἀκρίβεια τὴν ἔννοια τῶν λεγομένων, ἀλλὰ νὰ τὰ ψάλλεις μὲ νηφαλιότητα καὶ χωρὶς ρεμβασμό. Διότι καὶ μόνο ἂν τὰ λέγεις, οἱ ἐχθροὶ γνωρίζουν τὴ δύναμη αὐτῶν καὶ δὲν μποροῦν νὰ σοῦ ἀντισταθοῦν. Ἔτσι ἡ ψαλμωδία σοῦ γίνεται ἱκεσία στὸ Θεὸ καὶ κατάργηση τῶν ἐχθρῶν.

430

Ἐρώτηση

Ἐὰν εἶμαι στὴν ψαλμωδία ἢ μαζὶ μὲ ἀνθρώπους, καὶ θλίβομαι ἀπὸ τοὺς λογισμούς, καὶ ὀνομάσω τὸ Θεὸ στὴν καρδιά, μὴ μπορώντας μὲ τὸ στόμα, ἢ καὶ ἁπλῶς τὸν θυμηθῶ, ἄραγε δὲν μοῦ ἀρκεῖ αὐτὸ γιὰ βοήθεια;

Ἀπόκριση

Ἐάν, ἐνῶ στέκεσαι κατὰ τὴν ὥρα τῆς ψαλμωδίας ἢ εἶσαι μαζὶ μὲ ἀνθρώπους, σοῦ ἔλθει νὰ ὀνομάσεις τὸ Θεό, μὴ νομίσεις ὅτι, ἐὰν δὲν τὸν ἀναφέρεις μὲ τὸ στόμα, δὲν τὸν ὀνομάζεις· ἀλλὰ θυμήσου ὅτι εἶναι καρδιογνώστης καὶ

καὶ ὀνόμασον αὐτὸν ἐν τῇ καρδίᾳ σου. Τοῦτο γάρ ἐστιν ὃ εἶπεν ἡ Γραφή· «κλεῖσον τὴν θύραν σου καὶ πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ»· ἵνα κλείσωμεν τὸ στόμα καὶ ἐν τῇ καρδίᾳ προσευξώμεθα αὐτῷ.

Ὁ κλείων οὖν τὸ στόμα καὶ ὀνομάζων τὸν Θεὸν ἢ προσευχόμενος αὐτῷ ἐν τῇ καρδίᾳ αὐτοῦ, τὴν τοῦτο λέγουσαν ἐντολὴν πληροῖ· ἐὰν δὲ καὶ μὴ ὀνομάσῃς ἐν αὐτῇ, μνησθῇς δὲ μόνον, τοῦτο μᾶλλον ὀξύτερόν ἐστι τοῦ ὀνομάσαι καὶ ἀρκεῖ σοι πρὸς βοήθειαν.

ΥΛΑ'

Ἐρώτησις

Ἆρα οὖν καλόν ἐστι τὸ τινὰ ἐκ τῇ καρδίᾳ αὐτοῦ διὰ παντὸς μελετᾶν ἢ προσεύχεσθαι, μὴ συνεργούσης ὅλως τῆς αὐτοῦ γλώττης; Ὅτε δὲ συμβαίνει μοι τοῦτο, βυθίζεται ὁ λογισμός μου, καὶ αἰσθάνομαι βαρέως καὶ δοκῶ βλέπειν ὡς πράγματα καὶ φαντασίας, καὶ ὡς ἐν ὀνείροις διάγω.

Ἀπόκρισις

Τοῦτο τῶν τελείων ἐστί, τῶν δυναμένων κυβερνᾶν τὸν νοῦν καὶ εἰς τὸν φόβον τοῦ Θεοῦ ἔχειν, τὸ μὴ πλαγιάσαι καὶ βυθισθῆναι εἰς μετεωρισμὸν βαθύτατον ἢ φαντασίαν· ὁ δὲ μὴ δυνάμενος ἔχειν διαπαντὸς τὴν κατὰ Θεὸν νῆψιν, ἁρπάσει καὶ παραδώσει τὴν μελέτην καὶ τῇ γλώττῃ. Καὶ γὰρ οἱ κολυμβῶντες εἰς τὴν θάλασσαν, οἱ μὲν τεχνῖται αὐτῶν, θαρροῦντες ῥίπτουσιν ἑαυτοὺς εἰς αὐτήν, εἰδότες ὅτι τοὺς ἐπισταμένους καλῶς τὴν τέχνην βυθίσαι ἡ θάλασσα οὐ δύναται. Ὁ

προσέχει στὴν καρδιά· ὀνόμασέ τον λοιπὸν στὴν καρδιά σου. Διότι αὐτὸ σημαίνει ἐκεῖνο ποὺ εἶπε ἡ Γραφή, «κλεῖσε τὴ θύρα σου καὶ προσευχήσου στὸν Πατέρα σου ποὺ βρίσκεται μέσα κρυμμένος»[7]· νὰ κλείσουμε τὸ στόμα καὶ νὰ προσευχηθοῦμε σ' αὐτὸν μὲ τὴν καρδιά.

Αὐτὸς λοιπὸν ποὺ κλείνει τὸ στόμα καὶ ὀνομάζει τὸ Θεὸ ἢ προσεύχεται σ' αὐτὸν μὲ τὴν καρδιά του, πραγματοποιεῖ τὴν ἐντολὴ ποὺ τὸ λέγει αὐτό· ἐὰν ὅμως δὲν τὸν ὀνομάσεις καὶ μὲ τὴν καρδιά, ἀλλὰ μόνο τὸν θυμηθεῖς, αὐτὸ εἶναι περισσότερο ἰσχυρώτερο ἀπὸ τὸ νὰ τὸν ὀνομάσεις, καὶ σοῦ ἀρκεῖ γιὰ βοήθεια.

431

Ἐρώτηση

Ἄραγε εἶναι καλὸ τὸ νὰ μελετᾶ κανεὶς συνέχεια τὸ Θεὸ μέσα στὴν καρδιά του ἢ νὰ προσεύχεται χωρὶς νὰ συνεργήσει καθόλου ἡ γλῶσσα του; Ὅταν μοῦ συμβαίνει αὐτό, βυθίζεται ὁ λογισμός μου καὶ αἰσθάνομαι βαριὰ καὶ νομίζω σὰν νὰ βλέπω πράγματα καὶ φαντασίες καὶ ζῶ σὰν σὲ ὄνειρα.

Ἀπόκριση

Αὐτὸ ἀνήκει στοὺς τέλειους, ποὺ μποροῦν νὰ κυβερνοῦν τὸ νοῦ καὶ νὰ τὸν ἔχουν στὸ φόβο τοῦ Θεοῦ, γιὰ νὰ μὴ λοξοδρομήσουν καὶ βυθισθοῦν σὲ βαθύτατη ἀεροβασία ἢ φαντασία· ἐνῶ ἐκεῖνος ποὺ δὲν μπορεῖ νὰ ἔχει διαρκῶς τὴν κατὰ Θεὸ νήψη, θ' ἁρπάξει καὶ θὰ παραδώσει τὴ μελέτη καὶ στὴ γλῶσσα. Διότι καὶ ἀπ' αὐτοὺς ποὺ κολυμβοῦν στὴ θάλασσα, ἐκεῖνοι ποὺ εἶναι τεχνίτες πέφτουν σ' αὐτὴν μὲ θάρρος, γνωρίζοντας ὅτι ἡ θάλασσα δὲν μπορεῖ νὰ βυθίσει αὐτοὺς ποὺ

7. Ματθ. 6,6.

δὲ ἀρχόμενος τῆς τοιαύτης τέχνης, ὅταν αἰσθάνηται τοῦ βυθισμοῦ τῶν ὑδάτων, ἀπὸ τῆς συνοχῆς διὰ τὸ μὴ πνιγῆναι, ἁρπάζει ἑαυτὸν ἀπὸ τοῦ πελάγους εἰς τὸν αἰγιαλόν· καὶ λαμβάνων μικρὰν ψυχήν, πάλιν χαλᾷ ἑαυτὸν εἰς τὸ πέλαγος, καὶ δοκιμάζει τὰ αὐτὰ ποιῶν πρὸς τὸ μαθεῖν τελείως τὴν τέχνην, ἕως οὗ φθάσῃ τὸ μέτρον τῶν πρὸ αὐτοῦ ἐπισταμένων.

ΥΛΒ'

Ἐρώτησις

Τί ἐστιν ὅ λέγει τις τῶν πατέρων, 'οὐ τὸ εἰσελθεῖν τοὺς λογισμούς ἐστι τὸ κατάκριμα, ἀλλὰ τὸ κακῶς αὐτοὺς διοικῆσαι', ὁ δὲ ἀββᾶς Ἰωσὴφ εἶπεν ἑνὶ τῶν ἀδελφῶν, 'κόψον ταχέως τοὺς λογισμούς', ἄλλῳ δὲ εἶπεν, 'ἄφες αὐτοὺς εἰσελθεῖν, καὶ δὸς καὶ λάβε μετ' αὐτῶν, καὶ γίνῃ δόκιμος'.

Ἀπόκρισις

Τὸ εἰσελθεῖν τοὺς λογισμούς, τὸ σπαρῆναί ἐστι, καὶ οὐκ ἔστι κατάκριμα· τὸ δὲ συγκαταθέσθαι ἐστὶ τὸ κακῶς αὐτοὺς διοικῆσαι, καὶ ἔστι κατάκριμα· ἡ διαφορὰ δὲ τοῦ ἐᾶσαι εἰσελθεῖν τοὺς λογισμοὺς καὶ τοῦ κόψαι αὐτοὺς αὕτη ἐστί· τοῦ δυναμένου ἀντιστῆναι καὶ πολεμῆσαι καὶ μὴ ἡττηθῆναι, ἔστι τὸ ἐᾶσαι εἰσελθεῖν· τοῦ δὲ ἀσθενοῦντος καὶ μὴ δυναμένου, ἀλλὰ συγκατατιθεμένου, τοῦτό ἐστι τὸ κόψαι, διὰ τοῦ φυγεῖν πρὸς τὸν Θεόν.

ξέρουν τὴν τέχνη καλά. Ἐνῶ ὁ ἀρχάριος σ' αὐτὴν τὴν τέχνη, ὅταν αἰσθάνεται τὸ βυθισμὸ τῶν ὑδάτων, ἀπὸ τὴν ἀγωνία μήπως πνιγεῖ, ἁρπάζει καὶ μεταφέρει τὸν ἑαυτό του ἀπὸ τὸ πέλαγος στὴν ἀκρογιαλιά, καί, ἀφοῦ πάρει λίγη δύναμη, ρίχνεται πάλι στὸ πέλαγος, καὶ ἐπιχειρεῖ ξανά, κάνοντας τὰ ἴδια, γιὰ νὰ μάθει τέλεια τὴν τέχνη, ὡς ποὺ νὰ φθάσει τὸ μέτρο ἐκείνων ποὺ γνώριζαν τὴν τέχνη αὐτὴ πρὶν ἀπὸ αὐτόν.

432

Ἐρώτηση

Τί σημαίνει ἐκεῖνο ποὺ λέγει κάποιος ἀπὸ τοὺς πατέρες, ὅτι 'δὲν εἶναι τὸ κατάκριμα τὸ νὰ εἰσέλθουν οἱ λογισμοί, ἀλλὰ τὸ νὰ τοὺς κατευθύνει κανεὶς κακῶς', ἐνῶ ὁ ἀββᾶς Ἰωσὴφ εἶπε σὲ ἕναν ἀπὸ τοὺς ἀδελφούς, 'κόψε γρήγορα τοὺς λογισμούς', καὶ σὲ ἄλλον εἶπε, 'ἄφησέ τους νὰ εἰσέλθουν καὶ κάνε δοσοληψίες μ' αὐτοὺς καὶ θὰ γίνεις δόκιμος'[7α].

Ἀπόκριση

Ἡ ἴσοδος τῶν λογισμῶν σημαίνει τὸ νὰ σπαροῦν αὐτοί, καὶ αὐτὸ δὲν εἶναι ἀξιοκατάκριτο, ἐνῶ ἡ συγκατάθεση εἶναι ἡ κακὴ διαχείρισή τους, καὶ εἶναι ἀξιοκατάκριτη. Ἡ διαφορὰ τοῦ νὰ ἀφήσεις νὰ εἰσέλθουν οἱ λογισμοὶ καὶ τοῦ νὰ τοὺς κόψεις, εἶναι αὐτή· ἐκεῖνος ποὺ μπορεῖ ν' ἀντισταθεῖ καὶ νὰ πολεμήσει καὶ νὰ μὴ ἡττηθεῖ μπορεῖ νὰ τοὺς ἀφήσει νὰ εἰσέλθουν, ἐνῶ ὁ ἀδύναμος πνευματικὰ καὶ ἐκεῖνος ποὺ δὲ μπορεῖ ν' ἀντισταθεῖ ἀλλὰ συγκατατίθεται πρέπει νὰ τοὺς ἀποκόψει, καταφεύγοντας στὸ Θεό.

7α. Ἀποφθέγματα Γερόντων, τῆς σειρᾶς «Φιλοκαλία», Ἰωσήφ, σ. 340.

ΥΛΓ'

Ἐρώτησις

Ὅταν εὑρεθῶ ἐν τόπῳ, ἔνθα εἰσὶ λείψανα ἁγίων Μαρτύρων, ὀχλεῖται μου ὁ λογισμός, ὥστε πολλάκις ἀπιέναι καὶ προσκυνεῖν αὐτά, καὶ ὁσάκις ἂν παρέλθω δι' αὐτῶν, ὑποβάλλει μοι τὴν κεφαλὴν κλίνειν. Ἆρα δεῖ οὕτω ποιεῖν;

Ἀπόκρισις

Οὐ χρὴ οὕτω ποιεῖν· ἀλλά, ἐὰν ἅπαξ προσκυνήσῃς, ἀρκεῖ σοι τοῦτο. Μὴ οὖν ἀνάσχου αὐτοῦ, καὶ μάλιστα ὅταν ἔτυχες χωρὶς ὀχλήσεως ἰδίᾳ προαιρέσει τρίτον προσκυνήσας. Ἠκούσαμεν γάρ, ὅτι τὰ μετὰ ταραχῆς καὶ λύπης καὶ τὰ περισσὰ ταῦτα πάντα, τῶν δαιμόνων εἰσί. Καὶ τὸ κλίνειν δὲ τὴν κεφαλὴν ὁμοίως ἅπαξ ἀρκεῖ, ἢ ὅτε πολὺ ἕως τρίτου· καὶ τοῦτο χωρὶς ἀνάγκης ὑποβαλλομένης τῷ λογισμῷ.

ΥΛΔ'

Ἐρώτησις

Ἔστιν ὅτε ὑποβάλλει μοι δειλίαν, ἵνα προφάσει αὐτῆς εἰσέρχωμαι εὔξασθαι.

Ἀπόκρισις

Προφάσει τῆς δειλίας μὴ εἰσέλθῃς, ἀλλ' ἀκαίρως εἰσέρχου προφάσει τῆς εὐχῆς, τοῦ παρακαλέσαι τὸν Θεὸν καὶ τοὺς ἁγίους περὶ τῆς σαυτοῦ σωτηρίας.

433

Ἐρώτηση

Ὅταν βρεθῶ σὲ τόπο, ὅπου ὑπάρχουν λείψανα ἁγίων Μαρτύρων, ἐνοχλεῖται ὁ λογισμός μου, ὥστε πολλὲς φορὲς νὰ πηγαίνω καὶ νὰ προσκυνῶ αὐτά, καὶ ὅσες φορὲς συμβεῖ νὰ περάσω ἀπὸ αὐτά, μὲ προτρέπει νὰ σκύβω τὸ κεφάλι· ἄραγε πρέπει νὰ κάνω ἔτσι;

Ἀπόκριση

Δὲν πρέπει νὰ κάνεις ἔτσι, ἀλλά, ἐὰν προσκυνήσεις μία φορά, σοῦ ἀρκεῖ αὐτό. Μὴ δέχεσαι λοιπὸν αὐτὴν τὴν προτροπή, καὶ μάλιστα ὅταν ἔτυχες χωρὶς ἐνόχληση μὲ τὴν προαίρεσή σου νὰ τὰ προσκυνήσεις τρεῖς φορές. Διότι ἀκούσαμε, ὅτι τὰ σχετικὰ μὲ ταραχὴ καὶ λύπη καὶ ὅλα αὐτὰ τὰ περιττά, εἶναι τῶν δαιμόνων. Καὶ ἐπίσης τὸ νὰ κλίνεις τὸ κεφάλι μία φορὰ ἀρκεῖ, ἢ τὸ πολὺ μέχρι τρεῖς φορές· καὶ αὐτὸ χωρὶς ἀνάγκη ποὺ ὑποβάλλεται ἀπὸ τὸ λογισμό.

434

Ἐρώτηση

Συμβαίνει μερικὲς φορὲς ὁ λογισμὸς νὰ μοῦ ὑποβάλλει δειλία, ὥστε στὴν προσευχὴ νὰ εἰσέρχομαι μὲ τὴν πρόφαση αὐτῆς.

Ἀπόκριση

Νὰ μὴ εἰσέλθεις μὲ πρόφαση τὴ δειλία, ἀλλὰ νὰ εἰσέρχεσαι ἄκαιρα καὶ ἔχοντας ὡς πρόφαση τὴν προσευχή, γιὰ νὰ παρακαλέσεις τὸ Θεὸ καὶ τοὺς ἁγίους γιὰ τὴ σωτηρία σου.

ΥΛΕ'

Ἐρώτησις

Εἶπάς μοι 'διὰ τὴν δειλίαν μὴ εἰσιέναι'· καὶ ὅτε θέλω εἰσελθεῖν καὶ εὔξασθαι περὶ τῆς ἐμῆς σωτηρίας, ὑποβάλλει μοι τὴν δειλίαν, ἵνα κωλύσω τὴν εὐχήν, διὰ τὸ παραγγελθῆναί μοι παρ' ὑμῶν προφάσει τῆς δειλίας μὴ εἰσελθεῖν.

Ἀπόκρισις

Μηδὲ οὕτως ἀνάσχου αὐτοῦ, ἀλλ' εἴσελθε καὶ εὖξαι· τὴν γὰρ δειλίαν μηδὲν ὅλως λογίζου, μήτε πρὸς τὴν εὐχήν σε κινοῦσαν, μήτε τῆς εὐχῆς ἀποτρέπουσαν, ἀλλὰ πάντα πράττε ἐν καιρῷ καὶ φόβῳ Θεοῦ.

ΥΛϚ'

Ἐρώτησις

Καὶ περὶ τοῦ πολλάκις κατασφραγίζεσθαι ἐνοχλεῖ μοι, εἴτε ἐν νυκτί, εἴτε ἐν ἡμέρᾳ.

Ἀπόκρισις

Ἐὰν νήφωμεν, καὶ τὸ ἅπαξ κατασφραγίσασθαι εἴτε ἐν νυκτὶ εἴτε ἐν ἡμέρᾳ, ἀρκεῖ ἡμῖν πρὸς φυλακὴν καὶ σωτηρίαν· ἐὰν γὰρ πιστεύωμεν, ὅτι στήκει ἀκριβῶς ἡ πρώτη σφραγίς, οὐ χρεία τῆς δευτέρας· τὸ γὰρ ζητεῖν δευτέραν, σημαίνει, ὅτι οὐκ ἔχομεν στήκουσαν τὴν πρώτην. Καὶ ἀπὸ τῶν πραγμάτων τοῦ κόσμου ἔνι τοῦτο θεωρῆσαι· ἐὰν γὰρ σφραγίσῃ τις θησαυρὸν καὶ στήκει ἡ πρώτη σφραγίς, οὐ χρείαν ἔχει ἄλλης σφραγῖδος. Ἀλλὰ τοῦτο πράττουσιν οἱ δαίμονες, ἵνα εἰς ἀκηδίαν

435

Ἐρώτηση

Μοῦ εἶπες νὰ μὴ εἰσέλθω ἐξαιτίας τῆς δειλίας· ὅταν ὅμως θέλω νὰ εἰσέλθω καὶ νὰ προσευχηθῶ γιὰ τὴ σωτηρία μου καὶ μοῦ ὑποβάλλει ὁ λογισμὸς τὴ δειλία, γιὰ νὰ ἐμποδίσω τὴν προσευχή, ἐπειδὴ μοῦ παραγγείλατε ἐσεῖς νὰ μὴ εἰσέλθω μὲ πρόφαση τὴ δειλία, τί νὰ κάμω;

Ἀπόκριση

Οὔτε ἔτσι νὰ δέχεσαι τὸ λογισμό, ἀλλὰ νὰ εἰσέλθεις καὶ νὰ προσευχηθεῖς· τὴ δειλεία νὰ μὴ τὴ σκέπτεσαι καθόλου, οὔτε ὅταν σὲ προτρέπει γιὰ προσευχή, οὔτε ὅταν σὲ ἀποτρέπει ἀπὸ τὴν προσευχή, ἀλλὰ πάντοτε νὰ τὴν κάμνεις στὴν ὥρα της καὶ μὲ φόβο Θεοῦ.

436

Ἐρώτηση

Πολλὲς φορὲς ὁ λογισμὸς μὲ ἐνοχλεῖ σχετικὰ μὲ τὸ σημεῖο τοῦ σταυροῦ, εἴτε τὴν ἡμέρα εἴτε τὴ νύχτα.

Ἀπόκριση

Ἐὰν εἴμαστε ἐπάγρυπνοι, καὶ μία φορὰ νὰ κάνουμε τὸ σταυρό μας, εἴτε τὴ νύχτα εἴτε τὴν ἡμέρα, μᾶς ἀρκεῖ πρὸς φύλαξη καὶ σωτηρία μας· διότι, ἐὰν πιστεύουμε ὅτι στέκεται μὲ ἀκρίβεια ἡ πρώτη σφραγίδα μὲ τὸ σταυρό, δὲν χρειαζόμαστε τὴ δεύτερη· τὸ νὰ ζητοῦμε τὴ δεύτερη, σημαίνει ὅτι δὲν ἔχουμε σταθερὴ τὴν πρώτη. Αὐτὸ εἶναι δυνατὸ νὰ τὸ διαπιστώσουμε καὶ ἀπὸ τὰ πράγματα τοῦ κόσμου. Ἐὰν δηλαδὴ σφραγίσει κάποιος θησαυρὸ καὶ εἶναι σταθερὴ ἡ πρώτη σφραγίδα, δὲν ἔχει ἀνάγκη ἄλλης σφραγίδας. Ἀλλὰ αὐτὸ τὸ ἐνερ-

καὶ ὀλιγωρίαν ἐνάξωσιν ἡμᾶς, τοῦ μὴ ὅλως μετὰ νήψεως κἂν ἅπαξ, καθαρῶς ποιῆσαί τι. Διὰ τοῦτο ὀλίγον κατὰ φόβον Θεοῦ ποιήσωμεν, καὶ συμφέρει, ἢ πολλὰ μετὰ ταραχῆς τῶν ἐχθρῶν· φησὶ γάρ, «κρεῖσσον ὀλίγον τῷ δικαίῳ».

Ταῦτα δὲ λέγω, ὅταν μετὰ νήψεως ὄχλησιν ὑποβάλλωσιν, ἐπείγοντες ἡμᾶς ποιῆσαί τι ἀκαίρως. Ἐπεὶ ὅταν βλέπωμεν τὸν λογισμὸν μετὰ χαρᾶς κατασφραγίζοντα, οὔτε κατὰ δειλίαν, οὔτε κατά τινα ὄχλησιν, χρησώμεθα τοῦτο κατὰ τὸ ἐνδεχόμενον ἐν φόβῳ Θεοῦ· τὸ γὰρ κατὰ προαίρεσιν γινόμενον ἀρέσκει μᾶλλον τῷ Θεῷ.

ΥΛΖ'

Ἐρώτησις

Ἐὰν κατασφραγίσωμαι τῇ ἀριστερᾷ, ἐὰν μὴ δύνωμαι τοῦτο τῇ δεξιᾷ, μὴ ἄτοπον εἴη;

Ἀπόκρισις

Ε*γὼ τέως ὅταν θέλω σφραγίσαι τὴν δεξιάν μου, τῇ ἀριστερᾷ τοῦτο ποιῶ.*

ΥΛΗ'

Ἐρώτησις

Ὅτε προσεύχομαι περὶ πολλῶν κεφαλαίων, ἆρα ὀφείλω μνημονεύειν ἑκάστου ἐν τῇ εὐχῇ;

γοῦν οἱ δαίμονες, γιὰ νὰ μᾶς βάλουν σὲ ἀδιαφορία καὶ ὀλιγωρία, γιὰ νὰ μὴ κάνουμε γενικὰ κάτι καθαρὰ καὶ μὲ νήψη ἔστω καὶ μία φορά. Γι' αὐτὸ συμφέρει περισσότερο νὰ κάνουμε λίγα καὶ μὲ φόβο Θεοῦ, παρὰ πολλὰ μὲ ταραχὴ τῶν ἐχθρῶν, διότι λέγει ἡ Γραφή, «καλύτερο εἶναι τὸ λίγο γιὰ τὸν δίκαιο»[8].

Αὐτὰ τὰ λέγω νὰ τὰ κάνουμε, ὅταν μᾶς ὑποβάλλουν τὴν ἐνόχληση μὲ νήψη, πιέζοντάς μας νὰ κάνουμε κάτι ἄκαιρα. Διότι, ὅταν βλέπουμε τὸ λογισμὸ νὰ κάνει τὴ σφραγίδα τοῦ σταυροῦ μὲ χαρά, χωρὶς δειλία οὔτε μὲ κάποια ἐνόχληση, ἂς κάνουμε χρήση τῆς σφραγίδας τοῦ σταυροῦ ἀνάλογα μὲ τὶς περιστάσεις καὶ μὲ φόβο Θεοῦ· διότι αὐτὸ ποὺ γίνεται κατὰ προαίρεση ἀρέσει περισσότερο στὸ Θεό.

437

Ἐρώτηση

Ἐὰν κάνω τὸ σταυρό μου μὲ τὸ ἀριστερὸ χέρι, σὲ περίπτωση ποὺ μπορῶ νὰ τὸν κάνω μὲ τὸ δεξί, μήπως εἶναι ἄτοπο;

Ἀπόκριση

Ἐγὼ κάποτε, ὅταν θέλω νὰ σφραγίσω τὸ δεξί μου χέρι, τὸ κάνω μὲ τὸ ἀριστερό.

438

Ἐρώτηση

Ὅταν προσεύχομαι γιὰ πολλὰ κεφάλαια, ὀφείλω ἄραγε νὰ μνημονεύω τὸ καθένα στὴν προσευχή;

---

8. Ψαλμ. 36,16

Ἀπόκρισις

Ἐὰν περὶ πολλῶν κεφαλαίων θέλῃς εὔξασθαι, ἀφ' οὗ οἶδεν ὁ Θεὸς τίνων χρῄζομεν, προσεύχου λέγων· 'Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁδήγησόν με κατὰ τὸ θέλημά σου'. Ἐὰν δὲ περὶ παθῶν, λέγε· 'ἴασαί με κατὰ τὸ θέλημά σου'. Ἐὰν δὲ περὶ πειρασμῶν, λέγε· 'σὺ οἶδας τὸ συμφέρον μου, βοήθησόν μου τῇ ἀσθενείᾳ, καὶ δὸς κατὰ τὸ θέλημά σου ἔκβασιν τῶν πειρασμῶν'

ΥΛΘ'

Ἐρώτησις

Ἐὰν βραδύνω ἐν τῇ προσευχῇ, ἆρα τὰ αὐτὰ ῥήματα ὀφείλω ἐπιμεῖναι λέγων;

Ἀπόκρισις

Οὐ πάντως, ἀλλὰ τὴν δύναμιν αὐτῶν· τοῦτο δὲ μόνον χρὴ παραφυλάττειν, ὥστε τῷ θελήματι τοῦ Θεοῦ τοῦ πάντα διδόναι δυναμένου, ἵνα σκοπὸς ᾖ καὶ τῆς εὐχῆς τὸ κατὰ θέλημα Θεοῦ γενέσθαι τὸ αἰτούμενον.

ΥΜ'

Ἐρώτησις

Ἐάν τις θέλων εὐσεβῶς διοικῆσαι πράγματα, ἢ ὡς ταῦτα παραπέμψαι τινὶ κατὰ τὸ ἀρέσκον Θεῷ, καὶ ἀγνοεῖ πῶς ὀφείλει χρήσασθαι καὶ οὐχ εὑρίσκει παρὰ πατέρων ὁδηγηθῆναι, τί ὀφείλει προσευχόμενον λέγειν;

Ἀπόκριση

Ἐὰν θέλεις νὰ προσευχηθεῖς γιὰ πολλὰ κεφάλαια, ἐφόσον ὁ Θεὸς γνωρίζει ποιά πράγματα χρειαζόματε, προσευχήσου λέγοντας· 'Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁδήγησέ με σύμφωνα μὲ τὸ θέλημά σου'. Ἐὰν πρόκειται γιὰ πάθη, λέγε· 'θεράπευσέ με σύμφωνα μὲ τὸ θέλημά σου'. Ἐὰν πάλι πρόκειται γιὰ πειρασμούς, λέγε· 'ἐσὺ γνωρίζεις τὸ συμφέρον μου, βοήθησε τὴν ἀσθένειά μου καὶ δῶσε τὴν ἔκβαση τῶν πειρασμῶν σύμφωνα μὲ τὸ θέλημά σου'.

439

Ερώτηση

Ἐὰν ἀργήσω στὴν προσευχή, ἄραγε ὀφείλω νὰ ἐπιμείνω λέγοντας τὰ ἴδια λόγια;

Ἀπόκριση

Ὄχι ὁπωσδήποτε, ἀλλὰ τὸ νόημα αὐτῶν. Μόνο πρέπει νὰ προσέχεις πάρα πολὺ αὐτό, ὥστε νὰ κάνεις τὸ θέλημα τοῦ Θεοῦ ποὺ μπορεῖ νὰ δώσει τὰ πάντα, γιὰ νὰ εἶναι σκοπὸς καὶ τῆς προσευχῆς τὸ νὰ γίνει τὸ ζητούμενο σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ.

440

Ἐρώτηση

Ἐὰν κάποιος θέλει νὰ διοικήσει πράγματα μὲ εὐσέβεια, ἢ νὰ τὰ ἀναθέσει σὲ κάποιον σύμφωνα μ' αὐτὸ ποὺ ἀρέσει στὸ Θεό, καὶ ἀγνοεῖ πῶς ὀφείλει νὰ τὰ χειρισθεῖ καὶ δὲ βρίσκει καθοδήγηση ἀπὸ τοὺς πατέρες, τί ὀφείλει νὰ λέγει ὅταν προσεύχεται;

Ἀπόκρισις

Οὕτω προσευχέσθω· 'Κύριε, εἰς τὰς χεῖράς σού εἰμι· σὺ γινώσκεις τὸ συμφέρον, ὁδήγησόν με κατὰ τὸ θέλημά σου, καὶ μὴ ἐάσῃς με πλανηθῆναι ἐλθεῖν εἰς κατάχρησιν πράγματος· σὰ γάρ ἐστι τὰ πράγματα, καὶ σὺ αὐτῶν δεσπόζεις· ὡς Δεσπότης οἰκονόμησον γενέσθαι ἐν τῷ φόβῳ σου· ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας'. Ἀμήν.

ΥΜΑ'

Ἐρώτησις

Ὅτε κάθημαι, εἴτε ἀναγινώσκων εἴτε ἐργόχειρον ποιῶν, καὶ θέλω προσεύξασθαι, ἀπαιτεῖ με ὁ λογισμὸς προσέχειν εἰς ἀνατολάς. Πῶς χρή, πάτερ, ποιεῖν;

Ἀπόκρισις

Εἴτε κάθῃ εἴτε περιπατεῖς εἴτε ἐργάζῃ εἴτε ἐσθίεις εἴθ' ἕτερόν τι ποιεῖς εἴτε αὐτὴν τὴν χρείαν τοῦ σώματος, κἂν πρὸς ἀνατολάς, κἂν πρὸς δύσιν ἔτυχες ἀποβλέπων, μὴ διακριθῇς προσεύχεσθαι· ἀδιαλείπτως γὰρ τοῦτο ποιεῖν, καὶ ἐν παντὶ τόπῳ ἐνετάλθημεν. Καὶ πάλιν γέγραπται· «ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ»· ὅπερ δείκνυσι πανταχοῦ εἶναι τὸν Θεόν. Καὶ ὅτε δὲ τὴν κεφαλὴν ἐσκεπασμένην ἔχῃς, μὴ παραιτήσῃ τὴν εὐχήν, ἐκεῖνο μόνο παραφυλαττόμενος, τὸ μὴ ἐν καταφρονήσει τοῦτο ποιεῖν.

ΥΜΒ'

Ἐρώτησις

Λέγει μοι ὁ λογισμός, ὅτι 'εἰς πάντα ἁμαρτάνεις καὶ ὀφεί-

---

9. Ψαλμ. 67,5.

Ἀπόκριση

Νὰ προσεύχεται ὡς ἑξῆς· 'Κύριε, εἶμαι στὰ χέρια σου· ἐσὺ γνωρίζεις τὸ συμφέρον μου· ὁδήγησέ με σύμφωνα μὲ τὸ θέλημά σου, καὶ μὴ μὲ ἀφήσεις νὰ πλανηθῶ καὶ νὰ φθάσω σὲ κατάχρηση πράγματος, διότι τὰ πράγματα εἶναι δικά σου, καὶ ἐσὺ τὰ κυβερνᾶς· ὡς Δεσπότης ρύθμισε νὰ γίνουν σύμφωνα μὲ τὸ φόβο σου. Διότι δική σου εἶναι ἡ δόξα στοὺς αἰῶνες'. Γένοιτο.

441

Ἐρώτηση

Ὅταν κάθομαι, εἴτε διαβάζοντας εἴτε κάνοντας ἐργόχειρο, καὶ θέλω νὰ προσευχηθῶ, ὁ λογισμός μου ἀπαιτεῖ νὰ προσέχω στὴν ἀνατολή· τί πρέπει νὰ κάνω, πάτερ;

Ἀπόκριση

Εἴτε κάθεσαι εἴτε περπατᾶς εἴτε ἐργάζεσαι εἴτε τρώγεις εἴτε κάνεις κάτι ἄλλο εἴτε αὐτὴν ἀκόμα τὴν ἀνάγκη τοῦ σώματος, μὴ διστάσεις νὰ προσευχηθεῖς εἴτε ἔτυχε νὰ βλέπεις πρὸς τὴν ἀνατολὴ εἴτε πρὸς τὴ δύση· διότι μᾶς δόθηκε ἐντολὴ νὰ τὸ κάνουμε αὐτὸ ἀδιάκοπα καὶ σὲ κάθε τόπο. Καὶ πάλι ἔχει γραφεῖ, «ἑτοιμάστε δρόμο σ' αὐτὸν ποὺ πηγαίνει στὴ δύση, τοῦ ὁποίου τὸ ὄνομα εἶναι 'Κύριος'»[9], τὸ ὁποῖο δείχνει ὅτι ὁ Θεὸς εἶναι παντοῦ. Καὶ ὅταν ἔχεις σκεπασμένο τὸ κεφάλι, μὴν ἀποφύγεις νὰ προσευχηθεῖς, προσέχοντας μόνο αὐτό, τὸ νὰ μὴ τὸ κάνεις αὐτὸ μὲ περιφρόνηση.

442

Ἐρώτηση

Ὁ λογισμός μοῦ λέγει, ὅτι σὲ ὅλα ἁμαρτάνεις καὶ ὀφεί-

λεις ἐν ἑκάστῳ λόγῳ καὶ ἔργῳ καὶ ἐνθυμήσει λέγειν ὅτι 'ἥμαρτον'· ἐὰν γὰρ μὴ ὁμολογήσῃς τὸ ἁμάρτημα, ἔχεις σεαυτὸν μὴ ἁμαρτήσαντα'. Καὶ πάνυ θλίβομαι ἐπ' ἀμφοτέρων· οὔτε γὰρ ἐξαρκῶ τοῦτο λέγειν ἐν ἑκάστῳ, κἂν μὴ εἴπω, δοκῶ μοι ἡμαρτηκέναι.

Ἀπόκρισις

Ὀφείλομεν πάντοτε πληροφορίαν ἔχειν, ὅτι εἰς πάντα ἁμαρτάνομεν καὶ ἐν λόγῳ καὶ ἐν ἔργῳ καὶ ἐν ἐνθυμήσει· τὸ δὲ ἐν ἑκάστῳ λέγειν ὅτι ἥμαρτον, οὐ δυνάμεθα· ἀλλ' αὕτη τῶν δαιμόνων ἐστὶν ἡ ἐνέργεια, βουλομένων ἡμᾶς εἰς ἀκηδίαν ἐμβαλεῖν. Ὁμοίως καὶ διὰ τὸ μὴ λέγειν περὶ ἑκάστου διακεῖσθαι ὅτι οὐχ ἡμάρτομεν. Ἀλλὰ μνημονεύσωμεν τοῦ Ἐκκλησιαστοῦ λέγοντος· «καιρὸς τοῦ λαλῆσαι καὶ καιρὸς τοῦ σιωπῆσαι». Καὶ κατὰ πρωὶ ὑπὲρ τῆς νυκτὸς καὶ καθ' ἑσπέραν ὑπὲρ τῆς ἡμέρας εἴπωμεν ἐν προσευχῇ μετὰ κατανύξεως τῷ Δεσπότῃ Θεῷ. 'Δέσποτα, πάντα συγχώρησόν μοι διὰ τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι'· καὶ ἐξαρκεῖ σοι τοῦτο. Ὥσπερ γὰρ ἐὰν ἔχῃ τις συναλλάκτην καὶ λαμβάνει παρ' αὐτοῦ διαφόρως καὶ οὐ δύναται καθάπαξ ποιεῖν πρὸς αὐτὸν λόγον καὶ οὕτω πληροῖ, οὕτω καὶ ἐνταῦθα.

ΥΜΓ'

Ἐρώτησις

Ἐπειδὴ συμβαίνει μοι ὅτι στιχολογῶ τοὺς Ψαλμοὺς ῥέμβεσθαί ἢ πλανᾶσθαι, τί ποιήσω;

λεις σὲ κάθε λόγο καὶ ἔργο καὶ θύμηση νὰ λέγεις, 'ἁμάρτησα· διότι, ἂν δὲν ὁμολογήσεις τὸ ἁμάρτημα, θεωρεῖς τὸν ἑαυτό σου ὡς νὰ μὴ ἁμάρτησε'. Καὶ θλίβομαι πολὺ καὶ γιὰ τὰ δύο· διότι οὔτε μπορῶ νὰ τὸ λέγω αὐτὸ σὲ κάθε περίπτωση, καὶ ἂν δὲν τὸ πῶ, νομίζω ὅτι ἔχω ἁμαρτήσει.

Ἀπόκριση

Ὀφείλουμε νὰ ἔχουμε πάντοτε τὴ βεβαιότητα, ὅτι ἁμαρτάνουμε σὲ ὅλα καὶ στὸ λόγο καὶ στὸ ἔργο καὶ στὴ θύμηση· τὸ νὰ λέμε σὲ κάθε περίπτωση ὅτι ἁμαρτήσαμε, δὲ μποροῦμε· ἀλλὰ αὐτὴ εἶναι ἡ ἐνέργεια τῶν δαιμόνων, ποὺ θέλουν νὰ μᾶς ὁδηγήσουν σὲ ἀκηδία. Ὅμοια καὶ γιὰ τὸ ὅτι δὲν λέμε γιὰ κάθε περίπτωση, πρέπει νὰ ξέρομε ὅτι δὲν ἁμαρτήσαμε. Ἀλλὰ ἂς θυμηθοῦμε τὸν Ἐκκλησιαστὴ ποὺ λέγει· «ὑπάρχει καιρὸς γιὰ ὁμιλία καὶ καιρὸς γιὰ σιωπή»[10]. Τὸ πρωὶ γιὰ τὴ νύχτα καὶ τὴ νύχτα γιὰ τὴν ἡμέρα ἂς ποῦμε κατὰ τὴν προσευχὴ μὲ κατάνυξη στὸν Δεσπότη Θεό· 'Δέσποτα, συγχώρεσέ μού τα ὅλα γιὰ τὸ ἅγιο ὄνομά σου καὶ θεράπευσε τὴν ψυχή μου, διότι ἁμάρτησα σὲ σένα'· καὶ αὐτὸ σοῦ ἀρκεῖ. Διότι ὅπως ἀκριβῶς ὅταν ἔχει κανεὶς συναλλάκτη καὶ παίρνει ἀπὸ αὐτὸν ποικιλοτρόπως καὶ δὲν μπορεῖ κάθε φορὰ νὰ κάνει πρὸς αὐτὸν λογαριασμὸ καὶ μὲ αὐτὸν τὸν τρόπο κάνει τὶς συναλλαγές του, ἔτσι καὶ ἐδῶ.

443

Ἐρώτηση

Ἐπειδὴ μοῦ συμβαίνει ὅταν στιχολογῶ τοὺς ψαλμοὺς νὰ ὀνειροπολῶ ἢ νὰ πλανιέμαι, τί νὰ κάνω;

---

10. Ἐκκλ. 3,7.

Ἀπόκρισις

Ἐὰν πλανηθῇς, ἀνάλαβε ἀφ' ὧν καταλαμβάνεις ῥητῶν τοῦ προκειμένου Ψαλμοῦ, καὶ ἐὰν ἅπαξ καὶ δὶς καὶ τρὶς ἀναλαβὼν οὐχ εὑρίσκῃς μνημονεῦσαί τινος ῥητοῦ ἢ μνημονεύσας οὐχ εὑρίσκεις εἰς τὰ ἔμπροσθεν προβῆναι, ἀνάλαβε ἐκ τῆς ἀρχῆς τοῦ αὐτοῦ Ψαλμοῦ. Σκοπὸς γὰρ τῷ ἐχθρῷ διὰ τῆς λήθης ἐμποδίσαι τῇ δοξολογίᾳ. Τὸ δὲ εἰπεῖν ἐκ τῶν ἑξῆς, δοξολογία ἐστί. Τὸ δὲ μὴ ῥέμβεσθαί ἐστι τῶν ἐχόντων καθαρὰ τὰ αἰσθητήρια· ἡμεῖς δὲ ἀσθενεῖς ἐσμεν. Ὅταν δὲ λαμβάνωμεν αἴσθησιν τοῦ ῥεμβασμοῦ, νήψωμεν ἔκτοτε κατανοεῖν τὰ λεγόμενα, ἵνα μὴ γένωνται εἰς τὴν ἡμῶν κατάκρισιν.

ΥΜΔ'

Ἐρώτησις

Ἐὰν δὲ εἰς τὴν εὐχὴν ῥεμφθῶ, τί ποιήσω;

Ἀπόκρισις

Ἐὰν προσεύχῃ τῷ Θεῷ καὶ ῥεμφθῇς, ἀγώνισαι ἕως οὗ ἀρεμβάστως εὔξῃ· καὶ γρηγόρησόν σου τὸν νοῦν μὴ μετεωρισθῆναι. Ἐὰν δὲ τοῦτο, ὅτι ἀσθενεῖς ἐσμεν, ἐπιμείνῃ, κἂν εἰς τὰ ἔσχατα τῆς εὐχῆς νύξον σου τὴν καρδίαν καὶ εἰπὲ μετὰ κατανύξεως. 'Κύριε, ἐλέησόν με καὶ συγχώρησόν μοι πάντα τὰ πλημμελήματά μου', καὶ λαμβάνεις συγχώρησιν μετὰ ὅλων τῶν πλημμελημάτων καὶ τοῦ ῥεμβασμοῦ τοῦ γενομένου εἰς τὴν εὐχήν.

ΥΜΕ'

Ἐρώτησις

Ὅτε στιχολογεῖ ἀδελφὸς ἐν τῇ ψαλμῳδίᾳ, ποτὲ μὲν εἰρη-

Ἀπόκριση

Ἂν πλανηθεῖς, ἐπανάλαβε τὰ ρητὰ τοῦ ψαλμοῦ αὐτοῦ ποὺ τὰ θυμᾶσαι, καὶ ἂν ἐπαναλαμβάνοντας μία φορὰ καὶ δύο καὶ τρεῖς δὲν βρίσκεις νὰ θυμηθεῖς κανένα ρητό, ἢ ἂν θυμηθεῖς δὲν μπορεῖς νὰ προχωρήσεις, πάρε ἀπὸ τὴν ἀρχὴ τὸν ἴδιο ψαλμό. Διότι σκοπὸς τοῦ ἐχθροῦ εἶναι νὰ ἐμποδίσει τὴ δοξολογία μὲ τὴ λησμοσύνη. Τὸ νὰ λέγει κανεὶς στὴ συνέχεια εἶναι δοξολογία. Τὸ νὰ μὴ ὀνειροπολεῖ εἶναι γνώρισμα ἐκείνων ποὺ ἔχουν καθαρὰ τὰ αἰσθητήρια· ἐμεῖς ὅμως εἴμαστε ἀσθενεῖς. Ὅταν καταλαβαίνουμε τὸ ὀνειροπόλημα, ἂς συγκεντρώσουμε ὅλη τὴν προσοχή μας γιὰ νὰ κατανοοῦμε στὴ συνέχεια τὰ λεγόμενα, ὥστε νὰ μὴ ἀποβοῦν πρὸς κατάκρισή μας.

444

Ἐρώτηση

Ἐὰν ὀνειροπολήσω στὴν προσευχή, τί νὰ κάνω;

Ἀπόκριση

Ἐὰν προσεύχεσαι στὸ Θεὸ καὶ ὀνειροπολήσεις, ἀγωνίσου ὡς ποὺ νὰ προσευχηθεῖς χωρὶς ὀνειροπολήματα· καὶ κατάστησε ἐπάγρυπνο τὸν νοῦ σου, ὥστε νὰ μὴ κυριευθεῖ ἀπὸ μετεωρισμό. Ἐὰν ὅμως αὐτὸ ἐπιμείνει, διότι εἴμαστε ἀσθενεῖς, ἀκόμα καὶ στὸ τέλος τῆς προσευχῆς κέντησε τὴν καρδιά σου καὶ πὲς μὲ κατάνυξη· 'Κύριε, ἐλέησέ με καὶ συγχώρησέ μου ὅλα τὰ πλημμελήματά μου', καὶ μαζὶ μὲ ὅλα τὰ πλημμελήματά σου θὰ λάβεις συγχώρηση καὶ τοῦ ὀνειροπολήματος ποὺ σοῦ συνέβηκε στὴν προσευχή.

445

Ἐρώτηση

Ὅταν στιχολογεῖ ὁ ἀδελφὸς στὴν ψαλμωδία, ὁ λογισμός

νεύει μου ὁ λογισμός, ποτὲ δὲ ῥέμβεται, Τί οὖν ὀφείλω ποιεῖν;

Ἀπόκρισις

Οτε εἰρηνεύῃ ὁ λογισμός σου καὶ βλέπῃς σεαυτὸν λαμβάνοντα κατάνυξιν ἀπὸ τῆς στιχολογίας τοῦ ἀδελφοῦ, χρῆσαι τούτῳ τῷ πράγματι. Ἐὰν δὲ ἴδῃς ὅτι αἰχμαλωτίζεται ὁ νοῦς εἰς ἄλλας ἐνθυμήσεις, νύξον αὐτὸν προσέχειν τῇ δοξολογίᾳ τοῦ ἀδελφοῦ.

ΥΜϚʹ

Ἐρώτησις

Ἀλλὰ συμβαίνει μοι ἐκ τοῦ θέλειν με κατανοῆσαι τὰ ὑπὸ τοῦ ἀδελφοῦ λεγόμενα γενέσθαι μοι πόλεμον εἰς αὐτόν.

Ἀπόκρισις

Καὶ αὕτη αἰχμαλωσία ἐστί· μετοικίζει γὰρ ὁ ἐχθρὸς τὸν νοῦν ἀπὸ τόπου εἰς τόπον. Ἀλλὰ πάλιν νύξον σεαυτόν, ὅτε βλέπῃς ἐλθόντα τὸν πόλεμον καὶ εἰπὲ αὐτῷ μετὰ ἐπιτιμίας. 'Ποῦ ὑπάγεις, ταλαίπωρε; μνήσθητι τῶν μενουσῶν σε βασάνων, ὅτι ταύτας ὑφίστανται οἱ ταῦτα πράττοντες ἢ ἐνθυμούμενοι. Οὐκ ἀκαίρως γὰρ προσέφερεν Ἰὼβ ὑπὲρ τῶν τέκνων, λέγων, «μήποτε ἐνενόησάν τι πονηρὸν πρὸς τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν»'. Καὶ ταῦτα λέγων, θὲς τὸν νοῦν σου εἰς τὴν στιχολογίαν. Ἐὰν δὲ ἴδῃς πάλιν, ἐπιτίμησον αὐτῷ καὶ τοῦτο ἔστω σοι ἕως τρίτου· κἂν ἐπιμείνῃ, τότε ἀπόστησον αὐτόν, καὶ μὴ ἐάσῃς αὐτὸν ἀργόν, ἀλλὰ λογίζου τὴν κρίσιν καὶ τὰς αἰωνίους κολάσεις· καὶ προσεύχου τὸ ἅγιον ὄνομα τοῦ Θεοῦ, λέγων τό, 'Κύριε Ἰησοῦ Χριστέ, ἐλέησόν με'.

μου ἄλλοτε εἰρηνεύει καὶ ἄλλοτε ὀνειροπολεῖ· τί πρέπει λοιπὸν νὰ κάνω;

Ἀπόκριση

Ὅταν εἰρηνεύει ὁ λογισμός σου καὶ βλέπεις ὅτι ἀποκτᾶς κατάνυξη ἀπὸ τὴ στιχολογία τοῦ ἀδελφοῦ, ἐπωφελήσου ἀπὸ αὐτὸ τὸ πρᾶγμα. Ἐὰν ὅμως δεῖς ὅτι αἰχμαλωτίζεται ὁ νοῦς σου σὲ ἄλλες ἐνθυμήσεις, κέντησέ τον νὰ προσέχει στὴ δοξολογία τοῦ ἀδελφοῦ.

446

Ἐρώτηση

Ἀλλὰ μοῦ συμβαίνει, ἐπειδὴ θέλω νὰ κατανοήσω αὐτὰ ποὺ λέγονται ἀπὸ τὸν ἀδελφό, νὰ μοῦ προκαλεῖται πόλεμος πρὸς αὐτόν.

Ἀπόκριση

Καὶ αὐτὴ εἶναι αἰχμαλωσία· διότι ὁ ἐχθρὸς μεταφέρει τὸν νοῦ ἀπὸ τόπο σὲ τόπο. Ἀλλὰ κέντησε πάλι τὸν ἑαυτό σου, ὅταν βλέπεις ὅτι ὁ πόλεμος ἦρθε, καὶ πές του μὲ ἐπιτίμηση· 'Ποῦ πηγαίνεις, ταλαίπωρε; θυμήσου τὰ βάσανα ποὺ σὲ περιμένουν· διότι τέτοια βάσανα ὑφίστανται αὐτοὶ ποὺ κάνουν ἢ σκέπτονται αὐτά. Διότι ὁ Ἰὼβ δὲν ἀνέφερε χωρὶς λόγο γιὰ τὰ παιδιά, λέγοντας, «μήπως σκέφθηκαν κάτι πονηρὸ γιὰ τὸ Θεὸ στὶς καρδιές τους;»[11]. Καὶ λέγοντας αὐτά, στρέψε τὸ νοῦ σου στὴ στιχολογία. Ἐὰν ὅμως δεῖς ὅτι σοῦ συμβαίνει πάλι, ἐπιτίμησέ τον, καὶ αὐτὸ νὰ τὸ κάνεις μέχρι τρεῖς φορές· καὶ ἂν ἐπιμείνει, τότε ἀπομάκρυνέ τον. Καὶ νὰ μὴ τὸν ἀφήσεις ἀργό, ἀλλὰ σκέψου τὴν κρίση καὶ τὶς αἰώνιες κολάσεις, καὶ προσευχήσου στὸ ἅγιο ὄνομα τοῦ Θεοῦ, λέγοντας τό, 'Κύριε Ἰησοῦ Χριστέ, ἐλέησέ με'.

11. Ἰὼβ 1,5.

ΥΜΖ'

Ἐρώτησις

Ἐὰν ἱστάμενός τις ἐν ψαλμῳδίᾳ μετὰ τῶν ἀδελφῶν, οὐκ οἶδε τοὺς Ψαλμοὺς μετ' αὐτῶν εἰπεῖν, τί συμφέρει; ἀκούειν αὐτῶν ἢ ψάλλειν ἐξ ὧν οἶδε;

Ἀπόκρισις

Ἐὰν μὴ οἶδε τοὺς Ψαλμοὺς οὓς ἀντιφωνοῦσιν, ἀντὶ τοῦ ἀκούειν αὐτῶν, συμφέρει μᾶλλον ἵνα ψάλλῃ ἐξ ὧν οἶδε· τὸ γὰρ ἀκοῦσαι ἔχει μετεωρισμόν.

ΥΜΗ'

Ἐρώτησις

Ἐπειδή, ὅτε ἐπέρχεταί μοι πονηρὸς λογισμός, ἅμα τῷ αἰσθανθῆναι αὐτοῦ κινεῖται καὶ ἀποπηδᾷ ἡ καρδία μου, φοβουμένη ἵνα μὴ διὰ τὴν ἀσθένειαν κατακυριευθῇ ὑπ' αὐτοῦ, καὶ ὅτε τοῦτο ποιῶ αἰσθάνομαι πολλοῦ βάρους ἐν τῇ ψυχῇ καὶ θλίβομαι, καταξίωσον εἰπεῖν μοι, πῶς με δεῖ ποιεῖν ἐν τῇ ἀκηδίᾳ τοῦ πονηροῦ λογισμοῦ καὶ πῶς ἀπελαύνεται.

Ἀπόκρισις

Κίνησίς ἐστι τὸ μὴ πεισθῆναι μηδὲ συγκαταθέσθαι τῷ πονηρῷ λογισμῷ, ἀλλὰ προστρέχειν τῷ Θεῷ ἀταράχως καὶ μὴ εἴπῃς, 'Ἵνα μὴ προλάβῃ με θορυβοῦμαι'. Ἐκ γὰρ τοῦ ὑποδείγματος τούτου μάθε τὴν δύναμιν. Ἐάν τις ἐνάγῃ πρός τινα περὶ πράγματος καὶ μάθῃ ὁ ἐναγόμενος, ὅτι οὐ δύναται πρὸς αὐτὸν ἀπαντῆσαι, φέρει τὰ δεύτερα· ἐὰν δὲ ἔχῃ γεοῦχον ἰσχυρόν, μετὰ θάρρους προσέρχεται αὐτῷ, ἵνα ἐκδικήσῃ

447

Ἐρώτηση

Ἐάν, ὅταν στέκεται κανεὶς στὴν ψαλμωδία μὲ τοὺς ἀδελφούς, δὲ γνωρίζει νὰ πεῖ μαζὶ μ' αὐτοὺς τοὺς ψαλμούς, τί συμφέρει; νὰ τοὺς ἀκούει ἢ νὰ ψάλλει ὁ ἴδιος ὅσους γνωρίζει;

Ἀπόκριση

Ἐὰν δὲ γνωρίζει τοὺς ψαλμοὺς ποὺ ἀντιφωνοῦν, ἀντὶ νὰ τοὺς ἀκούει, συμφέρει περισσότερο νὰ ψάλλει ὅσους γνωρίζει· διότι ἡ ἀκρόαση ἐνέχει ἀεροβατήματα.

448

Ἐρώτηση

Ἐπειδή, ὅταν μοῦ ἔρχεται πονηρὸς λογισμός, μόλις τὸν αἰσθανθῶ, ἡ καρδιά μου κινεῖται καὶ ἀναπηδᾶ, φοβούμενη μήπως κατακυριευθεῖ ἀπὸ αὐτὸν ἐξαιτίας τῆς ἀσθένειας, καὶ ὅταν κάνω αὐτὸ αἰσθάνομαι πολὺ βάρος στὴν ψυχὴ καὶ θλίβομαι, ἀξίωσε νὰ μοῦ πεῖς, πῶς πρέπει νὰ ἐνεργῶ στὴν ἀκηδία τοῦ πονηροῦ λογισμοῦ καὶ πῶς ἀπομακρύνεται.

Ἀπόκριση

Κίνηση εἶναι τὸ νὰ μὴ πεισθεῖς οὔτε νὰ συναινέσεις στὸν πονηρὸ λογισμό, ἀλλὰ νὰ προστρέχεις στὸ Θεὸ ἀτάραχα καὶ νὰ μὴ πεῖς, 'θορυβοῦμαι γιὰ νὰ μὴ μὲ προλάβει'. Μάθε τὸ νόημα αὐτοῦ ἀπὸ αὐτὸ τὸ παράδειγμα. Ἐὰν ἐνάγει κανεὶς κάποιον γιὰ ἕνα πρᾶγμα καὶ μάθει ὁ ἐναγόμενος ὅτι δὲν μπορεῖ νὰ ἀπαντήσει σ' αὐτόν, ἀποτυγχάνει. Ἐὰν ὅμως ἔχει ἰσχυρὸ προστάτη, προσέρχεται σ' αὐτὸν μὲ θάρρος γιὰ νὰ τὸν

αὐτόν· καὶ οὐ ταράττεται, τὴν πεποίθησιν ἔχων ἐπ' αὐτόν. Καὶ πάλιν, ἐὰν προληφθῇ τίς ποτε ἐν τῇ ὁδῷ πεσεῖν εἰς χεῖρας λῃστοῦ, ἂν χρονίσῃ ἀντιμαχόμενος καὶ μὴ ἐάσῃ αὐτὸν λαβεῖν παρ' αὐτοῦ τίποτε, ἰδοὺ καλῶς· ἐὰν δὲ καὶ λάβῃ, γνωρίσῃ μόνον τὸν λῃστὴν καὶ τὸν τόπον αὐτοῦ καὶ δραμεῖται πρὸς τὸν ἄρχοντα καὶ αὐτὸς τὴν ἐκδίκησιν ποιεῖ· καὶ οὐ μόνον τὰ παρ' αὐτοῦ ληφθέντα αὐτὸν ποιεῖ λαβεῖν, ἀλλὰ καὶ αὐτὸν τὸν λῃστὴν κολάζει.

Ἐὰν εἰσέλθῃ οὖν ὁ λογισμός, μὴ ταραχθῇς, ἀλλὰ κατανόησον τί θέλει πρᾶξαι καὶ ἀντίπραξον ἀταράχως, τὸν Κύριον ἐπικαλούμενος· οὐ γὰρ τὸ εἰσελθεῖν τὸν λῃστὴν εἰς τὴν οἰκίαν ἐστὶ τὸ κακόν, ἀλλὰ τὸ λαβεῖν τὰ ἐν οἰκίᾳ. Ἐὰν δὲ ἐξέλθῃ μετὰ ἀτιμίας, αὕτη δόξα τοῦ οἰκοδεσπότου ἐστί· ἀτιμία δέ ἐστι τὸ ἐξελθεῖν αὐτὸν μηδὲν λαβόντα.

Ἐὰν οὖν ἔλθῃ ὁ Κύριος εἰς τὴν γῆν τῆς Ἰουδαίας, τουτέστι εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου, τότε ἐκβάλλει τὰ δαιμόνια. Αὐτῷ οὖν κράξον κατὰ τοὺς Μακεδόνας Παύλῳ· «πάρελθε διὰ Μακεδονίας, βοήθησον ἡμῖν», καὶ κατὰ τοὺς μαθητὰς βόησον αὐτῷ, «ἐπιστάτα, σῶσον ἡμᾶς· ἀπολλύμεθα»· καὶ ἐγείρεται καὶ ἐπιτιμᾷ τοῖς ἀνέμοις τοῖς νοητοῖς καὶ ἡσυχάζουσιν.

Αὐτοῦ γάρ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥΜΘ'

Ἐρώτησις

Ἐπειδὴ εἶπας ὅτι 'κίνησίς ἐστι τὸ μὴ πεισθῆναι τῷ λογισμῷ τοῦ πονηροῦ, ἀλλὰ προστρέχειν τῷ Θεῷ ἀταράχως', παρακαλῶ σε ἔτι σαφήνισόν μοι περὶ τῆς κινήσεως.

δικαιώσει· καὶ δὲν ταράζεται, στηρίζοντας τὴν πεποίθηση σ' αὐτόν. Καὶ πάλι, ἐὰν συμβεῖ κανεὶς κάποτε στὸ δρόμο νὰ πέσει στὰ χέρια ληστῆ, ἂν ἀντισταθεῖ σταθερὰ καὶ δὲν τὸν ἀφήσει νὰ τοῦ πάρει τίποτε, ἔχει καλῶς· ἂν ὅμως τοῦ πάρει, ἀλλὰ μάθει τὸν ληστὴ καὶ τὸν τόπο του καὶ τρέξει στὸν ἄρχοντα, αὐτὸς θὰ λάβει τὴν ἐκδίκηση· καὶ ὄχι μόνο τοῦ δίνει τὴ δυνατότητα νὰ πάρει αὐτὰ ποὺ τοῦ πῆρε ἐκεῖνος, ἀλλὰ τιμωρεῖ καὶ τὸν ἴδιο τὸν ληστή.

Ἐὰν εἰσέλθει λοιπὸν ὁ λογισμός, νὰ μὴ ταραχθεῖς, ἀλλὰ κατανόησε τί θέλει νὰ κάνει, καὶ ἀντίπραξε ἀτάραχα, ἐπικαλούμενος τὸν Κύριο· διότι τὸ κακὸ δὲν εἶναι τὸ νὰ μπεῖ ὁ ληστὴς στὸ σπίτι, ἀλλὰ τὸ νὰ πάρει αὐτὰ ποὺ εἶναι μέσα στὸ σπίτι. Ἐὰν ὅμως ἐξέλθει μὲ ἀτιμία, αὐτὴ εἶναι δόξα τοῦ οἰκοδεσπότη· καὶ ἀτιμία εἶναι τὸ νὰ ἐξέλθει αὐτὸς χωρὶς νὰ πάρει τίποτα.

Ἐὰν λοιπὸν ἔλθει ὁ Κύριος στὴ γῆ τῆς Ἰουδαίας, δηλαδὴ στὴν καρδιὰ τοῦ ἀνθρώπου, τότε διώχνει τὰ δαιμόνια. Φώναξέ τον λοιπὸν κατὰ τὸ παράδειγμα τῶν Μακεδόνων ποὺ φώναζαν τὸν Παῦλο, «πέρασε μέσα ἀπὸ τὴν Μακεδονία, βοήθησέ μας»[12], καὶ φώναξέ τον ὅπως οἱ μαθητές, «ἐπιστάτη, σῶσε μας, χανόμαστε»[13]. Καὶ αὐτὸς σηκώνεται καὶ ἐπιτιμᾶ τοὺς νοητοὺς ἀνέμους καὶ ἡσυχάζουν. Διότι δική του εἶναι ἡ δύναμη καὶ ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

449

Ἐρώτηση

Ἐπειδὴ εἶπες ὅτι 'κίνηση εἶναι τὸ νὰ μὴ πεισθεῖς στὸν λογισμὸ τοῦ πονηροῦ, ἀλλὰ νὰ προστρέχεις ἀτάραχα στὸ Θεό', σὲ παρακαλῶ ἀκόμα, διασαφήνισέ μου γιὰ τὴν κίνηση.

12. Α' Κορ. 16,5.
13. Λουκᾶ 8,24.

Ἀπόκρισις

Ἐὰν ἐνάγηταί τίς ποτε ὑπό τινος, καὶ ἀπέλθῃ αὐτὸς ὁ ἐναγόμενος πρὸς τὸν ἄρχοντα, κίνησις λέγεται· λέγουσι γάρ, ἐπειδὴ ἐνῆγε κατ᾿ αὐτοῦ, ἐκινήθη ἀπελθεῖν πρὸς τὸν ἄρχοντα. Κἂν χρονίζωσι δοκιμαζόμενοι μετ᾿ ἀλλήλων, οὐ δίδωσι λόγον διὰ τὸν χρόνον τῆς δίκης ὁ κινηθείς· τὰ ἔσχατα γὰρ τοῦ πράγματος καὶ τὸ τέλος τῆς ἐκβάσεως ζητεῖται. Τοῦτο γάρ ἐστι, «καὶ σὺ τηρήσεις αὐτοῦ τὴν πτέρναν». Ἡ πτέρνα οὖν τέλος σημαίνει.

Στερεωθείη οὖν ἡ καρδία σου εὐχαῖς ἁγίων. Ἀμήν.

ΥΝ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν μέγαν Γεροντα, λέγων.

Ποίησον ἔλεος καὶ εἰπέ μοι, πῶς σωθῶ· ἔταξα γὰρ εἰς τὸν λογισμόν μου ὑποταγῆναι τῇ σῇ ἐπιστολῇ.

Ἀπόκρισις

Εἰ ἀληθῶς σωθῆναι θέλεις, ἄκουσον ἔργῳ· ἆρον ἀπὸ τῆς γῆς τοὺς πόδας σου καὶ ἀνάγαγε εἰς τὸν οὐρανὸν τὸν νοῦν σου, καὶ ἐκεῖ γενηθήτω σου ἡ μελέτη νύκτα καὶ ἡμέραν· καὶ ὅσην ἔχεις δύναμιν καταφρονήθητι νύκτα καὶ ἡμέραν, πυκτεύων ἰδεῖν σεαυτὸν ὑποκάτω παντὸς ἀνθρώπου. Αὕτη ἐστὶν ἡ ἀληθινὴ ὁδός. Ἐκτὸς αὐτῆς ἄλλη οὐκ ἔστι τῷ σωθῆναι θέλοντι ἐν τῷ ἐνδυναμοῦντι αὐτὸν Χριστῷ. Τρεχέτω ὁ

Ἀπόκριση

Ἐὰν δικάζεται κάποιος ἀπὸ κάποιον καὶ μεταβεῖ ὁ ἴδιος ὁ ἐναγόμενος στὸν ἄρχοντα, αὐτὸ λέγεται κίνηση· διότι λέγουν, ἐπειδὴ ἔκανε δίκη ἐναντίον του, κινήθηκε νὰ μεταβεῖ στὸν ἄρχοντα· καὶ ἂν ἀκόμα χρονίζουν δικαζόμενοι μεταξύ τους, ἐκεῖνος ποὺ κινήθηκε δὲν δίνει λόγο γιὰ τὸν χρόνο τῆς δίκης· διότι ζητοῦνται τὰ τελευταῖα τῆς ὑποθέσεως καὶ τὸ τέλος τῆς ἐκβάσεως. Διότι αὐτὸ σημαίνει, «καὶ σὺ θὰ τρυπήσεις τὴν πτέρνα του»[14]. Ἡ πτέρνα λοιπὸν σημαίνει τὸ τέλος.

Εἴθε λοιπὸν νὰ στερεωθεῖ ἡ καρδιά σου μὲ τὶς εὐχὲς τῶν ἁγίων. Γένοιτο.

450

Ἐρώτηση

Κάποιος ἀδελφὸς ἐρώτησε τὸν μεγάλο Γέροντα, λέγοντας.

Δεῖξε ἔλεος καὶ πές μου, πῶς θὰ σωθῶ· διότι ἔταξα στὸν λογισμό μου νὰ ὑποταγεῖ στὴν ἐπιστολή σου.

Ἀπόκριση

Ἐὰν θέλεις ἀληθινὰ νὰ σωθεῖς, ἄκουσε ποιός εἶναι πραγματικά ὁ τρόπος· σήκωσε τὰ πόδια σου ἀπὸ τὴ γῆ καὶ ἀνέβασε τὸν νοῦ σου στὸν οὐρανό, καὶ ἐκεῖ ἂς μεταφερθεῖ ἡ μελέτη σου νύχτα καὶ μέρα· καὶ δέξου ὅσο σοῦ εἶναι δυνατὸ νὰ περιφρονηθεῖς νύχτα καὶ μέρα, ἀγωνιζόμενος νὰ δεῖς τὸν ἑαυτό σου κάτω ἀπὸ κάθε ἄνθρωπο. Αὐτὸς εἶναι ὁ ἀληθινὸς δρόμος. Δὲν ὑπάρχει ἄλλος δρόμος ἐκτὸς ἀπὸ αὐτὸν γιὰ ἐκεῖνον ποὺ θέλει νὰ σωθεῖ μὲ τὴ βοήθεια τοῦ Χριστοῦ ποὺ τὸν ἐνδυνα-

---

14. Γεν. 3,15.

θέλων, τρεχέτω ὁ θέλων, τρεχέτω ὁ θέλων, τρεχέτω, ἵνα καταλάβῃ. Μαρτύρομαι ἐνώπιον Θεοῦ τοῦ ζῶντος καὶ θέλοντος ζωὴν αἰώνιον χαρίσασθαι παντὶ τῷ θέλοντι· εἰ θέλεις, ἔργασαι, ἀδελφέ.

ΥΝΑ'

Τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.

Διατί ἐτριπλασίασεν ὁ Καλόγηρος, τὸ 'ὁ θέλων τρεχέτω';

Ἀπόκρισις *Ἰωάννου.*

Δεικνύων ὁ γέρων τὸ χρήσιμον τῆς ὁδοῦ ταύτης καὶ ὅτι οὐκ ἔστιν αὐτῆς ἀναγκαιοτέρα, ἐκ τρίτου εἶπε τὸν λόγον. Καὶ γὰρ καὶ ὁ Κύριος ἐν μὲν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ εἶπε πρὸς ἅπαξ τὸ «ἀμήν», ἐν δὲ τῷ κατὰ Ἰωάννην ἐδιπλασίασε, διὰ τοῦ εἰπεῖν, «ἀμήν, ἀμήν, λέγω ὑμῖν», ἐπειδὴ περὶ ἀναγκαιοτέρων ἐνταῦθα αὐτοῖς διελέγετο.

ΥΝΒ'

Ἐρώτησις

Παρακαλῶ μαθεῖν, πόθεν ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῇ Πεντηκοστῇ ἀκηδία καὶ νυσταγμὸς παρὰ τὴν συνήθειαν συμβαίνει μοι;

Ἀπόκρισις

Επειδὴ λάκκος ἐσμὲν καὶ οὐ πηγή, πάσχομεν ταῦτα· τουτέστιν ἀσθενεῖς ἐσμεν καὶ οὐ δυνατοὶ μεῖναι ἐν ταυτότητι· λοιπὸν ἀλλάσσονται οἱ ἀέρες καὶ μεγαλύνονται αἱ ἡμέραι, καὶ πάσχομεν τοῦτο· ἐπεὶ οἱ τέλειοι πατέρες οὐ πάσχουσιν αὐτό.

14α. Ἰω. 1,51 καὶ σὲ πολλὰ ἄλλα μέρη.

μώνει. Ἃς τρέχει ὅποιος θέλει, ἂς τρέχει ὅποιος θέλει, ἂς τρέχει ὅποιος θέλει· ἂς τρέχει, γιὰ νὰ φθάσει. Δίνω διαβεβαίωση ἐνώπιον τοῦ Θεοῦ, ὁ ὁποῖος ζεῖ καὶ θέλει νὰ χαρίσει τὴν αἰώνια ζωὴ σὲ ὅποιον τὴ θέλει· ἐὰν θέλεις, ἀδελφέ, νὰ σωθεῖς, ἐργάσου.

451

Τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Γιατί ὁ καλόγηρος εἶπε τρεῖς φορὲς τό, 'ὅποιος θέλει ἂς τρέχει';

Ἀπόκριση Ἰωάννη

Εἶπε τρεῖς φορὲς τὸν λόγο γιὰ νὰ δείξει ὁ γέροντας τὸ χρήσιμο αὐτοῦ τοῦ δρόμου καὶ ὅτι δὲν ὑπάρχει ἀναγκαιότερος ἀπὸ αὐτόν. Διότι καὶ ὁ Κύριος στὸ κατὰ Ματθαῖον Εὐαγγέλιο εἶπε μία φορὰ τὸ «ἀμήν», ἀλλὰ στὸ κατὰ Ἰωάννη τὸ διπλασίασε, μὲ τὸ νὰ πεῖ, «ἀμήν, ἀμὴν σᾶς λέγω»· ἐπειδὴ ἐδῶ τοὺς μιλοῦσε γιὰ ἀναγκαιότερα πράγματα[17].

452

Ἐρώτηση

Παρακαλῶ νὰ μάθω, ἀπὸ ποῦ ὡς ἐπὶ τὸ πλεῖστον κατὰ τὴν Πεντηκοστὴ μοῦ συμβαίνει, ἀντίθετα μὲ τὴ συνήθεια, ἀκηδία καὶ νυσταγμός;

Ἀπόκριση

Παθαίνουμε αὐτά, ἐπειδὴ εἴμαστε λάκκος καὶ ὄχι πηγή· δηλαδὴ εἴμαστε ἀσθενεῖς καὶ ὄχι δυνατοὶ νὰ μείνουμε στὴν ταυτότητα. Ἀλλάζουν λοιπὸν οἱ ἀέρες καὶ μεγαλώνουν οἱ μέρες, καὶ παθαίνουμε αὐτό. Βέβαια οἱ τέλειοι πατέρες δὲν τὸ παθαίνουν.

ΥΝΓ'

Ἐρώτησις

Ἐάν τινα ἴδω ποιοῦντα πρᾶγμα ἄτοπον, ἆρα οὐκ ὀφείλω κρίνειν τὸ ἄτοπον; Καὶ πῶς φύγω τὴν ἐκ τούτου τοῦ πλησίον κατάκρισιν;

Ἀπόκρισις

Αὐτὸ μὲν τὸ πρᾶγμα, τὸ ὂν ἀληθῶς ἄτοπον, οὐ δυνάμεθα μὴ κρίνει ἄτοπον· ἐπεὶ πῶς ἐκφύγωμεν τὴν ἐξ αὐτοῦ βλάβην, κατὰ τὴν τοῦ Κυρίου φωνὴν εἰπόντος, «προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν τῶν ἐρχομένων πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς»; Αὐτὸν δὲ τὸν τοῦτο ποιοῦντα, οὐ δεῖ κατακρίνειν διὰ τὸ «μὴ κρίνετε ἵνα μὴ κριθῆτε»· καὶ ὅτι χρὴ ἡμᾶς αὐτοὺς ἔχειν ἁμαρτωλοτέρους πάντων καὶ ὅτι χρὴ τὸ ἁμάρτημα τοῦ ἀδελφοῦ οἰκεῖον λογίζεσθαι καὶ τὸν διάβολον μισεῖν τὸν ἀπατήσαντα αὐτόν. Καθὼς γὰρ ἐάν τις ὠθήσῃ τινὰ εἰς φραγμόν, αὐτὸν τὸν ὠθήσαντα μεμφόμεθα, οὕτω καὶ ἐνταῦθα.

Συμβαίνει δὲ καὶ πρᾶγμα γίνεσθαι παρά τινος, ὅπερ τοῖς μὲν ὁρῶσι φαίνεται ἄτοπον, ἀγαθῷ δὲ σκοπῷ γίνεται τοῦ ποιοῦντος, ὥσπερ τότε συνέβη τῷ ἁγίῳ γέροντι. Παρερχόμενος γὰρ διὰ τοῦ ἱππικοῦ ἀγῶνος, εἰσῆλθεν ἐν γνώσει· καὶ θεωρήσας ἕκαστον σπουδάζοντα προλαβεῖν καὶ τὸν ἄλλον νικῆσαι, εἶπε τῷ λογισμῷ· 'βλέπεις πῶς οἱ τοῦ διαβόλου προθύμως ἀγωνίζονται; πόσῳ μᾶλλον ἡμεῖς οἱ κληρονόμοι τῆς βασιλείας τῶν οὐρανῶν;' καὶ ἀπῆλθεν, ἔτι προθυμότερος ἐκ τῆς τοιαύτης θεωρίας, ἐπὶ τὸν πνευματικὸν δρόμον καὶ ἀγῶνα.

Καὶ πάλιν, οὐκ οἴδαμεν εἰ τῇ μετανοίᾳ χρώμενος ὁ ἁμαρτή-

453

Ἐὰν δῶ κάποιον νὰ κάνει ἄτοπο πρᾶγμα, ἄραγε δὲν ὀφείλω νὰ κρίνω τὸ ἄτοπο; Καὶ πῶς θὰ ἀποφύγω τὴν κατάκριση τοῦ πλησίον γι' αὐτό;

Ἀπόκριση

Τὸ πρᾶγμα αὐτό, ποὺ εἶναι ἀληθινὰ ἄτοπο, δὲν μποροῦμε νὰ μὴ τὸ κρίνουμε ἄτοπο· διότι πῶς ἀλλιῶς θὰ ἀποφύγουμε τὴ βλάβη ἀπὸ αὐτό, σύμφωνα μὲ τὴ φωνὴ τοῦ Κυρίου ποὺ εἶπε, «προσέχετε ἀπὸ τοὺς ψευδοπροφῆτες ποὺ ἔρχονται σὲ σᾶς μὲ ἐνδύματα προβάτων, ἐνῶ ἀπὸ μέσα εἶναι ἅρπαγες λύκοι· θὰ τοὺς γνωρίσετε ἀπὸ τοὺς καρπούς τους»[15]. Ἐκεῖνον ὅμως ποὺ τὸ ἔκανε δὲν πρέπει νὰ τὸν κατακρίνουμε ἐξαιτίας τῆς ἐντολῆς «μὴ κρίνετε γιὰ νὰ μὴ κριθεῖτε»[16], καὶ διότι πρέπει νὰ θεωροῦμε τοὺς ἑαυτούς μας ἁμαρτωλότερους ὅλων καὶ διότι πρέπει τὸ ἁμάρτημα τοῦ ἀδελφοῦ νὰ τὸ θεωροῦμε δικό μας καὶ νὰ μισοῦμε τὸν διάβολο ποὺ ἀπάτησε αὐτόν. Ὅπως δηλαδή, ἐὰν κάποιος σπρώξει κάποιον σὲ φράχτη, κατακρίνουμε ἐκεῖνον ποὺ τὸν ἔσπρωξε, ἔτσι καὶ ἐδῶ.

Συμβαίνει ὅμως νὰ γίνεται ἕνα πρᾶγμα ἀπὸ κάποιον, τὸ ὁποῖο φαίνεται ἄτοπο σ' ἐκείνους ποὺ τὸ βλέπουν, γίνεται ὅμως μὲ καλὸ σκοπὸ ἀπὸ ἐκεῖνον ποὺ τὸ κάνει, ὅπως ἀκριβῶς συνέβηκε τότε στὸν ἅγιο γέροντα. Περνώντας δηλαδὴ ἀπὸ τὸ ἱππο-δρόμιο μπῆκε μέσα ἐπίτηδες. Καὶ ὅταν εἶδε τὸν καθένα νὰ βιάζεται νὰ προλάβει καὶ νὰ νικήσει τὸν ἄλλον εἶπε στὸ λογισμό· 'βλέπεις πῶς ἀγωνίζονται πρόθυμα οἱ ἄνθρωποι τοῦ διαβόλου; πόσο περισσότερο πρέπει ν' ἀγωνιζόμαστε ἐμεῖς οἱ κληρονόμοι τῆς βασιλείας τῶν οὐρανῶν;' Καὶ ἔφυγε, ἀκόμα προθυμότερος ἀπ' αὐτὴ τὴ θέα, στὸν πνευματικὸ δρόμο καὶ ἀγώνα.

Καὶ ἐπίσης δὲν γνωρίζουμε ἐὰν ὁ ἀδελφὸς ποὺ ἁμάρτησε

---

15. Ματθ. 7,16.
16. Ματθ. 7,1.

σας ἀδελφὸς εὐάρεστος γένηται τῷ Θεῷ διὰ τῆς ταπεινοφροσύνης καὶ ἐξομολογήσεως· ὁ γὰρ Φαρισαῖος ἐκ τῆς ἰδίας ἀλαζονείας κατακριθεὶς ἀνεχώρησε.

Ταῦτα οὖν εἰδότες μιμησώμεθα τὴν τοῦ τελώνου ταπείνωσιν, καὶ ἡμᾶς αὐτοὺς κατακρίνωμεν, καὶ δικαιούμεθα· καὶ φύγωμεν τὴν τοῦ Φαρισαίου ἀλαζονείαν, ἵνα μὴ κατακριθῶμεν.

ΥΝΔ'

Ἐρώτησις

Φιλόχρηστος ἠρώτησε τὸν αὐτὸν Γέροντα· πολλάκις συμβαίνει με μετά τινων εὑρισκόμενον αἰδεῖσθαι αὐτῶν, ὥστε τὸ πρόσωπόν μου ἀλλοιοῦσθαι καὶ καταπίπτειν καὶ μὴ δύνασθαι ἀντιβλέπειν εἰς αὐτοὺς ἢ διαλέγεσθαι. Καὶ ἐκ τούτου στενοχωρεῖταί μου καὶ ἀπορεῖ ἡ καρδία· κἂν τι λαλήσω, ἀφροσύνης καὶ ἀκαταστασίας καὶ κενοδοξίας πληροῦται ὁ λόγος· καὶ γέλως πολλάκις ἀναμεμιγμένος συνεξέρχεται τῷ λόγῳ, μηδεμίαν χάριν ἔχων· καὶ ὡς ἐμοῦ μὴ θέλοντος γίνεται, καὶ πάνυ ἐκ τούτου θλίβομαι. Ἀπορῶ οὖν τί ποιήσω. Ἐὰν γὰρ λαλήσω περιπίπτω τοῖς τοιούτοις, κἂν σιωπήσω ἄκαιρον δοκῶ ποιεῖν, καὶ μάλιστα ἐκείνων πρός με λαλούντων πολλακις. Τί οὖν ἐστι τοῦτο, πάτερ, τῶν ἁγίων εὐχῶν ὑμῶν προκειμένων;

Ἀπόκρισις

Τοῦτο συμβαίνει ἡμῖν ἀπὸ τοῦ φθόνου τοῦ διαβόλου· θέλων γὰρ μήτε ἡμᾶς ὠφεληθῆναι, μήτε τοὺς συντυγχάνοντας ἡμῖν, προσφέρει ἡμῖν τὸ ζιζάνιον τοῦτο, πρὸς τὸ εἰ δυνατὸν σκανδαλίσαι καὶ τοὺς συντυγχάνοντας ἡμῖν. Ἀλλ' ὁ φόβος τοῦ Θεοῦ ἐκτὸς ταραχῆς καὶ πάσης ἀκαταστασίας καὶ παντὸς θορύβου τυγχάνει. Ἐὰν οὖν πρὸ τῆς συντυχίας καταρτί-

γίνεται κατόπιν μετανοίας εὐάρεστος στὸ Θεὸ μὲ τὴν ταπεινοφροσύνη καὶ τὴν ἐξομολόγηση. Διότι ὁ Φαρισαῖος ἔφυγε ἀξιοκατάκριτος ἐξαιτίας τῆς ἀλαζονείας του.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς μιμηθοῦμε τὴν ταπείνωση τοῦ τελώνη καὶ ἂς κατακρίνομε τοὺς ἑαυτούς μας, καὶ θὰ δικαιωθοῦμε· καὶ ἂς ἀποφύγουμε τὴν ἀλαζονεία τοῦ Φαρισαίου, γιὰ νὰ μὴ κατακριθοῦμε.

454

Ἐρώτηση

Φιλόχρηστος ἐρώτησε τὸν ἴδιο γέροντα· πολλὲς φορὲς μοῦ συμβαίνει ὅταν βρίσκομαι μὲ κάποιους νὰ τοὺς ντρέπομαι, ὥστε νὰ ἀλλοιώνεται τὸ πρόσωπό μου καὶ νὰ πέφτει καὶ νὰ μὴ μπορῶ νὰ τοὺς κοιτάζω ἢ νὰ τοὺς μιλῶ. Ἀπὸ αὐτὸ στενοχωριέται καὶ ἀπορεῖ ἡ καρδιά μου. Καὶ ἂν πῶ κάτι, ὁ λόγος γεμίζει μὲ ἀφροσύνη καὶ ἀκαταστασία καὶ κενοδοξία καὶ πολλὲς φορὲς ἐξέρχεται μαζὶ μὲ τὸ λόγο ἀνακατεμένο γέλιο, χωρὶς νὰ ἔχει καμμιὰ χάρη· καὶ ἐπειδὴ γίνεται χωρὶς νὰ τὸ θέλω, πολὺ στενοχωριέμαι ἀπὸ αὐτό. Ἀπορῶ λοιπὸν τί νὰ κάνω· διότι, ἐὰν ὁμιλήσω πέφτω σ' αὐτὸ τὰ κατάντημα, καὶ ἂν σιωπήσω, νομίζω ὅτι κάνω κάτι ἄκαιρο, καὶ μάλιστα ὅταν ἐκεῖνοι πολλὲς φορὲς μοῦ μιλοῦν. Τί σημαίνει λοιπὸν αὐτό, πάτερ, μὲ τὶς ἅγιες εὐχές σας;

Ἀπόκριση

Αὐτὸ μᾶς συμβαίνει ἀπὸ τὸν φθόνο τοῦ διαβόλου. Ἐπειδὴ δηλαδὴ δὲν θέλει νὰ ὠφεληθοῦμε οὔτε ἐμεῖς οὔτε αὐτοὶ ποὺ μᾶς συναντοῦν, μᾶς προσφέρει αὐτὸ τὸ ζιζάνιο, γιὰ νὰ σκανδαλίσει, ἂν εἶναι δυνατό, καὶ αὐτοὺς ποὺ μᾶς συναντοῦν. Ἀλλ' ὁ φόβος τοῦ Θεοῦ εἶναι ἔξω ἀπὸ κάθε ταραχὴ καὶ ἀκαταστασία καὶ θόρυβο. Ἐὰν λοιπὸν πρὶν ἀπὸ τὴν συνά-

σωμεν ἑαυτοὺς ἐν τῷ φόβῳ τοῦ Θεοῦ καὶ πρόσχωμεν ἐν τῇ καρδίᾳ μετὰ νήψεως, τίνος ἕνεκα ταραττόμεθα καὶ γελῶμεν; ἐν γὰρ τῷ φόβῳ τοῦ Θεοῦ γέλως οὐκ ἔστι. Περὶ τῶν ἀφρόνων φησίν, ὅτι «ἐν τῷ γέλωτι ὑψοῦσι τὴν φωνὴν αὐτῶν» καὶ τεταραγμένος ἐστὶν ὁ λόγος τῶν ἀφρόνων καὶ ἄχαρις τυγχάνει. Περὶ δὲ τοῦ δικαίου φησίν, ὅτι «μόλις μέχρι μειδιάματος».

Ἐὰν οὖν φέρωμεν ἑαυτοῖς τὴν μνήμην τοῦ Θεοῦ, καὶ ὅτι μετὰ ταπεινώσεως καὶ ἡσύχου λογισμοῦ ὀφείλομεν ποιῆσαι τὴν ἡμῶν συντυχίαν πρὸς τοὺς ἀδελφοὺς ἡμῶν, καὶ ἐν τούτοις ἀγαπῶμεν καὶ τὴν φοβερὰν κρίσιν τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχωμεν, ὁ καταρτισμὸς οὗτος ἐξορίζει πάντα λογισμὸν πονηρὸν ἀπὸ τῆς καρδίας ἡμῶν· ὅπου γὰρ ἡσυχία καὶ πρᾳότης καὶ ταπείνωσις, οἰκεῖ ὁ Θεός. Ἔχομεν οὖν τὰ κατὰ τὴν συμβαίνουσαν συντυχίαν.

Ἐὰν δὲ ἐπιμείνῃ ὁ ἐχθρὸς πολεμῶν ἡμᾶς ἐν τούτοις, ἐν τῇ αὐτοῦ ἀναιδείᾳ νομίζων παγιδεῦσαι, καὶ καταβαλεῖν ἡμᾶς, μὴ ἐνδώσωμεν καὶ ἁρπάσῃ ἡμᾶς· ἀλλὰ μὴν μετὰ τὸ ἅπαξ, συνιῶμεν ἐν τῷ δευτέρῳ, καὶ οὕτω καθεξῆς. Φησὶ γὰρ «ἑπτάκις τῆς ἡμέρας πίπτει ὁ δίκαιος καὶ ἐγείρεται». Τὸ δὲ ἐγερθῆναι σημαίνει ὅτι ἀγωνίζεται· ὁ ἀγωνιζόμενος δὲ τοιοῦτός ἐστι πίπτων καὶ ἐγειρόμενος, ἕως οὗ ὕστερον φανεῖται τίς γένηται.

Ἐπὶ τούτοις δὲ πᾶσι συνιῶμεν ἐπικαλεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ τὸ ἅγιον· ὅτι, ὅπου ὁ Θεός, ἐκεῖ πάντα τὰ ἀγαθά. Δῆλον δὲ καὶ ὅπου ὁ διάβολος, ἐκεῖ πάντα τὰ κακά. Καὶ φανερόν ἐστιν, ὅτι, ἐὰν κατὰ κενοδοξίαν ἢ κατὰ ἀνθρωπαρέσκειαν ἢ καθ' οἱονδήποτε τρόπον κακίας ταραχωδῶς λαλήσωμεν, ταῦτα πάντα ἐκ τοῦ διαβόλου ἐστί.

Καὶ μνησθῶμεν τοῦ ἁγίου Παύλου λέγοντος Τιμοθέῳ, ὅτι «ὁ λόγος σου μετὰ χάριτος ἔστω, ἅλατι ἠρτυμένος». Καὶ ἐὰν

ντηση ἐφοδιάσουμε τοὺς ἑαυτούς μας μὲ τὸ φόβο τοῦ Θεοῦ καὶ προσέξουμε στὴν καρδιὰ μὲ ἐγρήγορση, γιὰ ποιό λόγο θὰ ταραζόμαστε καὶ θὰ γελᾶμε; διότι δὲν ὑπάρχει γέλιο στὸ φόβο τοῦ Θεοῦ. Γιὰ τοὺς ἄφρονες λέγει, ὅτι «ὑψώνουν τὴ φωνή τους στὸ γέλιο»[17], καὶ εἶναι ταραγμένος ὁ λόγος τῶν ἀφρόνων καθὼς καὶ ἄχαρος. Ἐνῶ γιὰ τὸν δίκαιο λέγει, ὅτι φθάνει «μόλις μέχρι μειδιάματος»[17]·

Ἐὰν λοιπὸν φέρουμε στοὺς ἑαυτούς μας τὴ μνήμη τοῦ Θεοῦ, καὶ ὅτι ὀφείλουμε νὰ κάνουμε τὴ συνάντησή μας μὲ τοὺς ἀδελφούς μας μὲ ἥσυχο λογισμὸ καὶ γι' αὐτὰ νὰ τοὺς ἀγαποῦμε, καὶ νὰ ἔχουμε μπροστὰ στὰ μάτια τὴ φοβερὴ κρίση τοῦ Θεοῦ, αὐτὸς ὁ καταρτισμὸς ἐξορίζει ἀπὸ τὴν καρδιά μας κάθε πονηρὸ λογισμό· διότι ὅπου ὑπάρχει ἡσυχία καὶ πραότητα καὶ ταπείνωση, κατοικεῖ ὁ Θεός. Ἔχουμε λοιπὸν τὰ ἀπαραίτητα γιὰ τὴν προετοιμαζόμενη συνάντηση.

Ἐὰν ὅμως ἐπιμείνει ὁ ἐχθρὸς νὰ μᾶς πολεμᾶ σ' αὐτά, νομίζοντας ὅτι θὰ μᾶς παγιδεύσει μὲ τὴν ἀναίδειά του καὶ θὰ μᾶς καταβάλει, νὰ μὴ ἐνδώσουμε καὶ μᾶς ἁρπάξει· ἀλλὰ ἀντιθέτα μετὰ τὸ πρῶτο νὰ φθάσουμε στὸ δεύτερο, καὶ οὕτω καθεξῆς. Διότι λέγει «ὁ δίκαιος ἑπτὰ φορὲς τὴν ἡμέρα πέφτει καὶ σηκώνεται»[18]. Τὸ νὰ σηκωθεῖ σημαίνει ὅτι ἀγωνίζεται. Καὶ ἐκεῖνος ποὺ ἀγωνίζεται εἶναι τέτοιος, ἐπειδὴ πέφτει καὶ σηκώνεται, ὡς ποὺ νὰ φανεῖ ἀργότερα τί θὰ γίνει.

Μαζὶ μὲ ὅλα αὐτὰ νὰ μάθουμε νὰ ἐπικαλούμαστε τὸ ἅγιο ὄνομα τοῦ Θεοῦ· διότι ὅπου βρίσκεται ὁ Θεός, ἐκεῖ ὑπάρχουν ὅλα τὰ ἀγαθά. Καὶ βέβαια ὅπου βρίσκεται ὁ διάβολος, ἐκεῖ ὑπάρχουν ὅλα τὰ κακά. Καὶ εἶναι φανερό, ὅτι, ἐὰν μιλήσουμε μὲ ταραχὴ ἀπὸ κενοδοξία ἢ ἀπὸ ἀνθρωπαρέσκεια ἢ ἀπὸ ὁποιοδήποτε τρόπο κακίας, ὅλα αὐτὰ προέρχονται ἀπὸ τὸν διάβολο.

Ἂς θυμηθοῦμε καὶ τὸν ἅγιο Παῦλο ποὺ λέγει στὸν Τιμόθεο, «ὁ λόγος σου νὰ εἶναι μὲ χάρη, ἀρτυμένος μὲ ἅλας»[19]. Καὶ

17. Σοφ. Σειρὰχ 21,20.
18. Παρμ. 24,16.
19. Κολ. 4,6.

ἀδολεσχήσωμεν ἐν τούτοις, ὁ παντοκράτωρ Θεὸς διὰ τῆς αὐτοῦ εὐσπλαγχνίας δίδωσιν ἡμῖν κατάστασιν τελείαν, κατὰ τὸν φόβον αὐτοῦ.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥΝΕ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Τίς ποτε προετρέψατό τινα τῶν πατέρων γεύσασθαι παρ' αὐτῷ· ὁ δὲ παρῃτήσατο ὡς μὴ δυνάμενος. Ἄλλος δέ τις ᾔτησεν αὐτὸν ποιῆσαι μόνον εὐχὴν ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ ὡς εἰσῆλθεν ἐβιάσατο αὐτὸν μεῖναι γεύσασθαι· καὶ πολλῇ ἀνάγκῃ βιασθεὶς ἔμεινε· γνοὺς δὲ ὁ ἐξ ἀρχῆς αὐτὸν προτρεψάμενος, πάνυ ἐλυπήθη. Ἆρα κατὰ Θεόν ἐστιν αὕτη ἡ λύπη;

Ἀπόκρισις

Ὅταν προφάσει δῆθεν εὐλόγου πράγματος καὶ ψυχωφελοῦς ταράττηταί τις καὶ λυπῆται καὶ ὀργίζηται κατὰ τοῦ πλησίον αὐτοῦ, φανερὸν γίνεται, ὅτι οὐκ ἔστι τοῦτο κατὰ Θεόν· πάντα γὰρ τὰ τοῦ Θεοῦ εἰρηνικὰ καὶ ὠφέλιμα, καὶ εἰς ταπείνωσιν φέροντα τὸν ἄνθρωπον καὶ εἰς τὸ ἑαυτὸν κατακρίνειν. Φησὶ γὰρ ὅτι «ὁ δίκαιος ἐν πρωτολογίᾳ ἑαυτοῦ κατήγορος γίνεται»· ὁ δοκῶν γὰρ θέλειν τί ποτε κατὰ Θεὸν καὶ κωλυόμενος ὑπό τινος, εἶτα κατακρίνων τὸν κωλύσαντα καὶ καταλαλῶν αὐτοῦ, ἐκ τούτων φανεροῦται, ὅτι οὐκ εἶχε κατὰ Θεὸν τὴν πρόθεσιν αὐτοῦ· φησὶ γάρ· «ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς». Ὁ γὰρ ἔχων τὴν πρόθεσιν κατὰ Θεὸν καὶ κωλυόμενος, μᾶλλον ταπεινοῦται καὶ ἡγεῖται ἑαυτὸν ἀνάξιον, καὶ ὡς

ἐὰν ἀσχοληθοῦμε ἐπίμονα μ' αὐτά, ὁ παντοκράτορας Θεὸς μὲ τὴν εὐσπλαγχνία του θὰ μᾶς δώσει τέλεια κατάσταση, σύμφωνα μὲ τὸ φόβο του.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

455

Ἐρώτηση τοῦ ἰδίου.

Κάποιος κάποτε ζήτησε ἀπὸ κάποιον πατέρα νὰ γευματίσει μαζί του· αὐτὸς ὅμως ἀρνήθηκε, ἐπειδὴ δὲ μποροῦσε. Κάποιος ἄλλος τὸν παρακάλεσε νὰ κάνει μόνο μιὰ προσευχὴ στὸ κελλί του, καὶ μόλις μπῆκε τὸν πίεσε νὰ μείνει γιὰ νὰ γευματίσει καὶ αὐτός, καὶ ἀφοῦ πιέστηκε μὲ πολλὴ βία, ἔμεινε. Ὅταν τὸ ἔμαθε ἐκεῖνος ποὺ τὸν παρακάλεσε ἀπὸ τὴν ἀρχή, στενοχωρέθηκε πολύ. Ἄραγε αὐτὴ ἡ λύπη εἶναι κατὰ Θεό;

Ἀπόκριση

Ὅταν ταράζεται κανεὶς καὶ λυπᾶται καὶ ὀργίζεται κατὰ τοῦ πλησίον του μὲ τὴν πρόφαση δῆθεν εὐλόγου καὶ ψυχοφελοῦς πράγματος, γίνεται φανερό, ὅτι αὐτὸ δὲν εἶναι κατὰ Θεό· διότι ὅλα τὰ πράγματα τοῦ Θεοῦ εἶναι εἰρηνικὰ καὶ ὠφέλιμα καὶ ὁδηγοῦν τὸν ἄνθρωπο σὲ ταπείνωση καὶ σὲ κατάκριση τοῦ ἑαυτοῦ του. Διότι λέγει· «ὁ δίκαιος γίνεται πρῶτος κατήγορος τοῦ ἑαυτοῦ του»[20]· διότι αὐτὸς ποὺ φαίνεται ὅτι θέλει κάτι κατὰ Θεὸ καὶ ἐμποδίζεται ἀπὸ κάποιον, καὶ ἔπειτα κατακρίνει αὐτὸν ποὺ τὸν ἐμπόδισε καὶ τὸν καταλαλεῖ, μὲ αὐτὸ φανερώνει, ὅτι δὲν εἶχε τὴν προθεσή του κατὰ Θεό· διότι λέγει, «θὰ τοὺς καταλάβετε ἀπὸ τοὺς καρπούς τους»[21]. Αὐτὸς ποὺ ἔχει τὴν πρόθεση κατὰ Θεὸ καὶ ἐμποδίζεται, περισσότερο ταπεινώνεται καὶ θεωρεῖ τὸν ἑαυτό του ἀνάξιο, καὶ θεωρεῖ ὡς

20. Παρμ. 18,17.
21. Ματθ. 7,16.

προφήτην ἔχει τὸν κωλύσαντα αὐτόν· ὅτι ὡς προγινώσκων τὴν ἀναξιότητα αὐτοῦ ἐκώλυσεν αὐτόν.

Ἐὰν οὖν κατὰ ἀγάπην Θεοῦ καλέσῃς τινὰ ἐλθεῖν εἰς τὸ κελλίον σου, ἢ καὶ αἰτήσῃς λαβεῖν παρά τινός τί ποτε, ὡς κατὰ πίστιν, καὶ μὴ πεισθῇ δοῦναί σοι, ἄλλος δέ τις αἰτήσῃ αὐτὸν καὶ καταδέξηται δοῦναι, μὴ ἐάσῃς τὸν δαίμονα τῆς ὀργῆς ταράξαι σου τὴν καρδίαν· πᾶν γὰρ πρᾶγμα ἔχον ταραχὴν ἐκ τοῦ Θεοῦ οὐκ ἔστιν. Ἀλλὰ μᾶλλον ταπεινώθητι, λέγων, ὅτι 'ἐγὼ ἀνάξιος εὑρέθην, καὶ τοῖς πατράσιν ἐφανέρωσεν ὁ Θεὸς τὰς ἁμαρτίας μου, καὶ τὴν ἀναξιότητα'· «καὶ δίδωσι τὴν χάριν ὁ διδοὺς ταπεινοῖς». Ὁ ἔχων γὰρ τὴν ταπείνωσιν, οὐκ ἀεὶ θέλει τὰ ὑπὲρ αὐτόν, ἀλλὰ πάντοτε κάτω τρέχει εἰς τὴν ταπείνωσιν.

Καὶ κατανόησον τὸν ἑκατόνταρχον τὸν προσελθόντα τῷ Ἰησοῦ διὰ τὸν παῖδα αὐτοῦ καὶ ἀκούσαντα, «ἐγὼ θεραπεύσω αὐτὸν» τρέχοντα εἰς τὴν ταπείνωσιν καὶ λέγοντα, «Δέσποτα, οὔκ εἰμι ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς». Τίς οὐκ ἂν ἥρπασε τοῦτο; Ἀλλ' ἡ ταπείνωσις οὐδὲ τοῦτο ἐζήτησε, κατακρίνουσα ἑαυτὴν ἀναξίαν· καὶ ὁ καρδιογνώστης Θεός, ὁ δεχόμενος τὴν προαίρεσιν τῶν ἀνθρώπων, ἐπῄνεσε τὴν πίστιν αὐτοῦ, λέγων, ὅτι «ἐν ὅλῳ τῷ Ἰσραὴλ τοιαύτην πίστιν οὐχ εὗρον». Καὶ ἔπαινον αὐτῷ προεξένησε μέγαν ἡ ταπείνωσις, καὶ ὑγείαν τῷ παιδὶ αὐτοῦ παρέσχε. Καὶ πολλὰ τὰ χαρίσματα τὰ διδόμενα τῇ ταπεινώσει.

Δράμωμεν εἰς αὐτήν, ἵνα τὴν χάριν αὐτῆς λάβωμεν, καὶ τὸν ἔπαινον παρὰ Ἰησοῦ Χριστοῦ τοῦ ἑαυτὸν ταπεινώσαντος, καὶ ὑπηκόου γενομένου μέχρι θανάτου, καὶ τύπον ἡμῖν δόντος ταπεινώσεως.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

22. Παρμ. 3,34.
23. Ματθ. 8,7.

προφήτη ἐκεῖνον ποὺ τὸν ἐμπόδισε· διότι τὸν ἐμπόδισε, ἐπειδὴ γνώριζε ἀπὸ πρὶν τὴν ἀναξιότητά του.

Ἐὰν λοιπὸν καλέσεις κάποιον νὰ ἔλθει στὸ κελλί σου κατὰ ἀγάπη Θεοῦ ἢ καὶ ζητήσεις νὰ πάρεις κάτι ἀπὸ κάποιον μὲ ἐμπιστοσύνη καὶ δὲν πεισθεῖ νὰ σοῦ τὸ δώσει, καὶ κάποιος ἄλλος τὸν παρακαλέσει καὶ καταδεχθεῖ νὰ τὸ δώσει, νὰ μὴ ἀφήσεις τὸν δαίμονα τῆς ὀργῆς νὰ ταράξει τὴν καρδιά σου· διότι κάθε πρᾶγμα ποὺ ἔχει ταραχὴ δὲν εἶναι ἀπὸ τὸ Θεό. Ἀλλὰ μᾶλλον δεῖξε ταπείνωση λέγοντας, 'ἐγὼ βρέθηκα ἀνάξιος, καὶ ὁ Θεὸς φανέρωσε τὶς ἁμαρτίες μου καὶ τὴν ἀναξιότητά μου στοὺς πατέρες', καὶ σοῦ «δίνει τὴ χάρη αὐτὸς ποὺ τὴν δίνει στοὺς ταπεινούς»[22]. Αὐτὸς ποὺ ἔχει τὴν ταπείνωση, δὲν θέλει πάντοτε τὰ παραπάνω ἀπὸ αὐτόν, ἀλλὰ πάντοτε τρέχει κάτω, στὴν ταπείνωση.

Σκέψου τὸν ἑκατόνταρχο ποὺ προσῆλθε στὸν Ἰησοῦ γιὰ τὸ παιδί του καὶ ἄκουσε, «ἐγὼ θὰ ἔλθω καὶ θὰ τὸ θεραπεύσω»[23], πῶς πρόστρεξε στὴν ταπείνωση καὶ εἶπε, «Δέσποτα, δὲν εἶμαι ἱκανὸς γιὰ νὰ μπεῖς κάτω ἀπὸ τὴ στέγη μου»[24]. Ποιός δὲν θὰ ἅρπαζε τέτοια εὐκαιρία; ἀλλὰ ἡ ταπείνωση δὲν ζήτησε οὔτε αὐτό, κατακρίνοντας τὸν ἑαυτό της ἀνάξιο· καὶ ὁ καρδιογνώστης Θεός, αὐτὸς ποὺ δέχεται τὴν προαίρεση τῶν ἀνθρώπων, ἐπαίνεσε τὴν πίστη του λέγοντας· «σὲ ὅλον τὸ Ἰσραὴλ δὲν βρῆκα τέτοια πίστη»[25]. Καὶ ἡ ταπείνωση προξένησε καὶ σ' αὐτὸν μεγάλο ἔπαινο καὶ ἔδωσε στὸ παιδί του ὑγεία. Πολλὰ εἶναι τὰ χαρίσματα ποὺ δίνονται στὴν ταπείνωση.

Ἂς τρέξουμε σ' αὐτήν, γιὰ νὰ λάβουμε τὴ χάρη της, καὶ τὸν ἔπαινο ἀπὸ τὸν Ἰησοῦ Χριστό, ποὺ ταπείνωσε τὸν ἑαυτό του καὶ ἔγινε ὑπήκοος μέχρι θανάτου, καὶ μᾶς ἔδωσε παράδειγμα ταπεινώσεως.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

24. Ματθ. 8,8.
25. Ματθ. 8,10.

ΥΝS'

Ἐρώτησις

Ἐπειδὴ οὖν, πάτερ, ὁ ἑκατόνταρχος τῇ ὑπερβαλλούσῃ ταπεινώσει χρησάμενος, ἀνάξιον ἑαυτὸν ἔκρινε τῆς παρουσίας τοῦ Δεσπότου, καὶ ἐπῃνέθη αὐτοῦ ἡ πίστις, ὁ δὲ Ἀβραὰμ καὶ προετρέψατο καὶ προσέπεσεν, ὥστε ἐλθεῖν αὐτὸν εἰς τὴν σκηνήν, εἰ καὶ ὡς ἀνθρώπῳ προσῆλθεν, ἀγνοῶν ὅτι ὁ Δεσπότης ἦν, ἆρα οὐκ εἶχε τὴν ταπείνωσιν ὁ Ἀβραάμ, ἀλλὰ μείζων ἐστὶ τῆς τοῦ πατριάρχου ἡ τοῦ ἑκατοντάρχου ἀρετή; Ἡ γὰρ ταπείνωσις, ὡς ἀεὶ διδάσκετε, τὰ πρωτεῖα φέρει τῶν ἀρετῶν. Εἰπέ μοι οὖν τὴν δύναμιν καὶ τὴν διαφορὰν τῆς ἑκατέρων ἀρετῆς· ὅτι ὁ μὲν οὐ κατεδέξατο τὴν παρουσίαν καὶ ἐπῃνέθη· ὁ δὲ σφόδρα αὐτὴν ἠσπάσατο, καὶ ἐπῃνέθη.

Ἀπόκρισις

Οἱ δύο τέλειοι ἦσαν τῇ πίστει τῇ πρὸς τὸν Θεόν, καὶ πρὸς τὸ ἁρμόδιον τοῦ καιροῦ ἐχρήσαντο τῇ πίστει καὶ τῇ ταπεινώσει. Καὶ γὰρ εἶπε καὶ ὁ πατριάρχης Ἀβραάμ, ὅτι «ἐγώ εἰμι γῆ καὶ σποδός»· καὶ τὸ ἡγεῖσθαι ἑαυτὸν οὕτω, δείκνυσιν, ὅτι οὐδὲ τῆς ξενοδοχίας ἄξιον ἑαυτὸν ἡγεῖτο. Καὶ ὅμως, ἐπειδὴ τέλειος ἦν, πάντα ἄνθρωπον ἐδέχετο, μὴ διακρίνων τοὺς ἁμαρτωλοὺς ἀπὸ τῶν ἁγίων. Περὶ αὐτοῦ γὰρ ἐρρέθη καὶ τοῦ Λώτ, ὅτι «τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους». Εἰ ἔμαθεν οὖν ὁ Ἀβραάμ, ὅτι ὁ Δεσπότης ἐστί, χρήσασθαι εἶχε τῇ φωνῇ τοῦ ἑκατοντάρχου· τοῦ γὰρ ἡγουμένου ἑαυτὸν «γῆν καὶ σποδόν», οὐδὲν ταπεινότερον εὑρίσκομεν.

456

Ἐρώτηση

Ἐπειδὴ λοιπόν, πάτερ, ὁ ἑκατόνταρχος ἀπὸ ὑπερβολικὴ ταπείνωση ἔκρινε ἀνάξιο τὸν ἑαυτό του γιὰ τὴν παρουσία τοῦ Δεσπότη στὸ σπίτι του καὶ ἐπαινέθηκε ἡ πίστη του, ἐνῶ ὁ Ἀβραὰμ καὶ τὸν προέτρεψε καὶ τὸν παρακάλεσε, ὥστε νὰ ἔλθει στὴν σκηνή του, ἂν καὶ προσῆλθε σὰν πρὸς ἄνθρωπο, ἀγνοώντας ὅτι ἦταν ὁ Δεσπότης, ἄραγε ὁ Ἀβραὰμ δὲν εἶχε τὴν ταπείνωση, ἀλλὰ εἶναι μεγαλύτερη ἡ ἀρετὴ τοῦ ἑκατόνταρχου ἀπὸ τὴν ἀρετὴ τοῦ πατριάρχη; Διότι ἡ ταπείνωση, ὅπως διδάσκετε πάντοτε, κατέχει τὰ πρωτεῖα τῶν ἀρετῶν. Πές μου λοιπὸν τὴ σημασία καὶ τὴ διαφορὰ τῆς ἀρετῆς τῶν δύο· διότι ὁ πρῶτος δὲν καταδέχθηκε τὴν παρουσία του καὶ ἐπαινέθηκε, ἐνῶ ὁ ἄλλος τὴν δέχθηκε μὲ πολλὴ προθυμία καὶ ἐπαινέθηκε.

Ἀπόκριση

Καὶ οἱ δύο ἦταν τέλειοι στὴν πίστη πρὸς τὸ Θεό, καὶ χρησιμοποίησαν αὐτὴν καὶ τὴν ταπείνωση ἀνάλογα μὲ τὸν καιρό. Ὁ πατριάρχης Ἀβραὰμ εἶπε, «ἐγὼ εἶμα χῶμα καὶ στάχτη»· καὶ μὲ τὸ νὰ θεωρεῖ τὸν ἑαυτό του ἔτσι, δείχνει ὅτι δὲν τὸν θεωροῦσε ἄξιο οὔτε τῆς φιλοξενίας. Καὶ ὅμως, ἐπειδὴ ἦταν τέλειος, δεχόταν κάθε ἄνθρωπο, χωρὶς νὰ διακρίνει τοὺς ἁμαρτωλοὺς ἀπὸ τοὺς ἁγίους. Διότι γι' αὐτὸν λέχθηκε καὶ τὸν Λώτ, «μὴ ξεχνᾶτε τὴ φιλοξενία· διότι μ' αὐτὴ ἔτυχε νὰ φιλοξενήσουν μερικοὶ ἀγγέλους χωρὶς νὰ τὸ καταλάβουν»[25α]. Ἐὰν λοιπὸν γνώριζε ὁ Ἀβραὰμ ὅτι εἶναι ὁ Δεσπότης, θὰ μποροῦσε νὰ χρησιμοποιήσει τὰ λόγια τοῦ ἑκατόνταρχου· διότι δὲ βρίσκουμε κανένα ταπεινότερον ἀπὸ ἐκεῖνον ποὺ θεωρεῖ τὸν ἑαυτό του «χῶμα καὶ στάχτη».

25α. Ἑβρ. 13,2.

Καὶ ὁ ἑκατόνταρχος δὲ τῷ ἁρμόζοντι καιρῷ ἐχρήσατο τῇ ταπεινώσει, γνοὺς αὐτὸν εἶναι τὸν Σωτῆρα· ἡμεῖς δὲ λέγομεν, ὅτι καὶ τὸ ἔργον εἶχε τῆς φιλοξενίας, οὐκ ἐκτὸς γὰρ ἔργων ἡ πίστις αὐτοῦ ἦν· οὐδὲ ἐπῄνει ὁ Χριστὸς ἀργὴν πίστιν, ἤγουν καὶ τὰ ἔργα εἶχεν αὐτοῦ ἡ πίστις. Καὶ καιρῷ τῆς ξενοδοχίας ἐχρήσατο ἂν καὶ αὐτὸς τῇ παρακλήσει τοῦ πατριάρχου Ἀβραὰμ πρὸς πάντας. Ἀμφοτέρους οὖν τελείους εὑρίσκομεν.

ΥΝΖ'

Ἐρώτησις

Ἐπειδὴ οὖν ἐγὼ ἁμαρτωλός εἰμι, μήτε ταπείνωσιν ἔχων τὴν ἀληθῆ καὶ γνησίαν, δι' ἣν ἐπῃνέθη ὁ ἑκατόνταρχος, μήτε τῆς φιλοξενίας ἀγάπην, δι' ἣν Ἀβραὰμ Θεὸν ξενίσαι κατηξιώθη, τί ὀφείλω ποιῆσαι; Ἆρα ὀφείλω ἀποβλέπων πρὸς τὴν ἐμαυτοῦ ἀναξιότητα παραιτητεῖσθαι τῶν ἁγίων τὴν παρουσίαν καὶ τὸ ἐξ αὐτῆς ζημιοῦσθαι κέρδος; ἢ μᾶλλον προστρέχειν οὐ τρόπῳ φιλοξενίας, ἀλλ' ὡς ἀσθενὴς τὴν ψυχὴν καὶ τῆς παρ' αὐτῶν ἰατρείας δεόμενος; Ἴδιον γὰρ τῶν ἀσθενούντων τὸ ἐπιζητεῖν τῶν ἰατρῶν τὴν παρουσίαν καὶ οὐ λογίζεται αὐτοῖς τοῦτο εἰς φιλοξενίαν· κἂν αὐτοὺς μὴ προσκαλέσωνται οὐκ ἔδοξαν ταπεινοφροσύνης ἀρετὴν ἔχειν, ἀλλὰ μᾶλλον ἀνοίας. Δίδαξόν με οὖν, πάτερ, εἰ προτρέψομαι ὡς δεόμενος ἢ παραιτήσομαι ὡς ἀνάξιος.

Ἀπόκρισις

Πρότρεψαι ὡς κακῶς ἔχων καὶ χρῄζων τοῦ ἰατροῦ· τοῦτο δὲ μάθε, ὅτι τὸ παιδίον τὸ γεννώμενον, οὐκ εὐθὺς γίνεται εἰς ἄνδρα τέλειον· ἀλλὰ διέρχεται διὰ τῆς ἁπαλῆς τροφῆς, καὶ τότε ἔρχεται εἰς στερεὰν τροφήν· τῶν τελείων

Καὶ ὁ ἑκατόνταρχος εἶχε τὴν ταπείνωση στὸν ἁρμόζοντα καιρό, ἐπειδὴ γνώριζε ὅτι αὐτὸς εἶναι ὁ Σωτήρας. Ἐμεῖς ὅμως λέμε, ὅτι εἶχε καὶ τὸ ἔργο τῆς φιλοξενίας, διότι ἡ πίστη του δὲν ἦταν χωρὶς ἔργα· οὔτε θὰ ἐπαινοῦσε ὁ Χριστὸς ἀργὴ πίστη, δηλαδὴ ἡ πίστη του εἶχε καὶ τὰ ἔργα. Στὸν καιρὸ τῆς φιλοξενίας θὰ χρησιμοποιοῦσε καὶ αὐτὸς τὴν παράκληση τοῦ πατριάρχη Ἀβραὰμ πρὸς ὅλους. Καὶ τοὺς δύο λοιπὸν τοὺς βρίσκουμε τέλειους.

457

Ἐρώτηση

Ἐπειδὴ λοιπὸν ἐγὼ εἶμαι ἁμαρτωλός, οὔτε ἔχω τὴν ἀληθινὴ καὶ γνήσια ταπείνωση μὲ τὴν ὁποία ἐπαινέθηκε ὁ ἑκατόνταρχος, οὔτε τὴν ἀγάπη τῆς φιλοξενίας, μὲ τὴν ὁποία καταξιώθηκε ὁ Ἀβραὰμ νὰ φιλοξενήσει τὸ Θεό, τί ὀφείλω νὰ κάνω; Ἄραγε ὀφείλω, βλέποντας τὴν ἀναξιότητά μου, νὰ παραιτηθῶ ἀπὸ τὴν παρουσία τῶν ἁγίων καὶ νὰ ζημιωθῶ τὸ κέρδος ἀπὸ αὐτήν; ἢ μᾶλλον νὰ προστρέξω ὄχι μὲ τρόπο φιλοξενίας, ἀλλὰ σὰν ἀσθενὴς στὴν ψυχὴ ποὺ ἔχει ἀνάγκη θεραπείας ἀπὸ αὐτούς; Διότι γνώρισμα τῶν ἀσθενῶν εἶναι νὰ ἐπιζητοῦν τὴν παρουσία τῶν ἰατρῶν καὶ αὐτὸ δὲν λογίζεται σ' αὐτοὺς ὡς φιλοξενία. Καὶ ἂν ἀκόμα δὲν τοὺς προσκαλέσουν δὲν θεωροῦνται ὅτι ἔχουν τὴν ἀρετὴ τῆς ταπεινοφροσύνης ἀλλὰ τῆς ἀνοίας. Δίδαξέ με λοιπόν, πάτερ, ἐὰν πρέπει νὰ τοὺς προσκαλέσω ὡς κάποιος ποὺ ἔχω ἀνάγκη ἢ νὰ παραιτηθῶ ὡς ἀνάξιος.

Ἀπόκριση

Νὰ τοὺς προσκαλέσεις ἐπειδὴ εἶσαι ἀσθενὴς καὶ χρειάζεσαι ἰατρό. Μάθε καὶ αὐτό, ὅτι τὸ παιδὶ ποὺ γεννιέται, δὲ γίνεται ἀμέσως τέλειος ἄνδρας, ἀλλὰ τρέφεται στὴν ἀρχὴ μὲ ἁπαλὴ τροφὴ καὶ ἔπειτα ἔρχεται στὴ στερεὴ τρο-

γάρ ἐστιν ἡ στερεὰ τροφή· διὰ τοῦτο καὶ ὁ Ἀπόστολος εἶπε· «γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα».

Ξενοδοχοῦντες οὖν μὴ εἴπωμεν, 'ἐντολὴν πληροῦμεν', ἀλλὰ δεόμενοι τῶν ἰατρῶν ὡς κακῶς ἔχοντες· καὶ χρῶ τούτοις ἕως οὗ εἰσενέγκῃ σε ὁ Θεὸς εἰς τὰ τέλεια.

ΥΝΗ'

Ἐρώτησις

Τί ἐστι παρρησία καὶ γέλως ἀπρεπής;

Ἀπόκρισις

Ἔστι παρρησία καὶ παρρησία· ἔστι παρρησία ἀπὸ ἀναιδείας καὶ αὕτη ἐστὶ γεννήτρια πάντων τῶν κακῶν, καὶ ἔστι παρρησία ἀπὸ ἱλαρότητος, καὶ αὕτη μὲν οὐ πάνυ ὠφελεῖ τὸν κεχρημένον αὐτῇ. Ἀλλ' ἐπειδὴ τῶν ἰσχυρῶν καὶ δυνατῶν ἐστι τὸ φυγεῖν τὰς δύο, εἰ οὐ δυνάμεθα ἡμεῖς διὰ τὴν ἡμετέραν ἀσθένειαν τὰς δύο φυγεῖν, κἂν χρησώμεθα τῇ παρρησίᾳ τῆς ἱλαρότητος, προσέχοντες τὸ μὴ ἐκ ταύτης δοῦναι πρόσκομμα τῷ ἀδελφῷ εἰς σκάνδαλον. Οἱ γὰρ μετὰ ἀνθρώπων ὄντες, ἐὰν μὴ ὦσι τέλειοι ἀπαλλαγῆναι τῆς δευτέρας ταύτης παρρησίας οὐ δύνανται. Εἰ οὖν ἀδυνατοῦμεν, ἔστω ἡμῖν πρὸς οἰκοδομὴν καὶ οὐχὶ σκάνδαλον, μάλιστα ὅταν σπουδάσωμεν συντομῆσαι καὶ τὴν αὐτῆς ὁμιλίαν· καὶ γὰρ οὐ πάνυ ὠφελεῖ ἡ μακρολογία, κἂν δοκῇ μὴ ἔχειν τι ἄτοπον.

Περὶ δὲ τοῦ γέλωτος, τὴν αὐτὴν ἔχει δύναμιν· γέννημα γάρ ἐστι τῆς παρρησίας. Ἐὰν μὲν ἔχῃ τις παρρησίαν αἰσχρολογίας, δηλονότι καὶ γέλωτα ἔχει αἰσχρόν· ἐὰν δὲ παρρησίαν ἱλαρότη-

φή· διότι ἡ στερεὴ τροφὴ εἶναι τῶν τελείων· γι' αὐτὸ εἶπε καὶ ὁ Ἀπόστολος, «σᾶς ἐπότισα γάλα καὶ ὄχι τροφή»[26].

Ὅταν φιλοξενοῦμε λοιπόν, νὰ μὴ ποῦμε ὅτι πραγματοποιοῦμε ἐντολή, ἀλλ' ὅτι χρειαζόματε τοὺς ἰατρούς, ἐπειδὴ εἴμαστε ἄρρωστοι. Καὶ χρησιμοποίει αὐτοὺς μέχρι ποὺ νὰ σὲ ὁδηγήσει ὁ Θεὸς στὰ τέλεια.

458

Ἐρώτηση

Τί εἶναι παρρησία καὶ ἀπρεπὲς γέλιο;

Ἀπόκριση

Υπάρχει παρρησία καὶ παρρησία· ὑπάρχει παρρησία ἀπὸ ἀναίδεια, καὶ αὐτὴ εἶναι γεννήτρια ὅλων τῶν κακῶν, καὶ ὑπάρχει παρρησία ἀπὸ ἱλαρότητα, ποὺ καὶ αὐτὴ δὲν ὠφελεῖ καὶ πολὺ αὐτὸν ποὺ τὴν ἔχει. Ἀλλά, ἐπειδὴ τὸ νὰ ἀποφύγει κανεὶς καὶ τὶς δύο παρρησίες εἶναι γνώρισμα τῶν ἰσχυρῶν καὶ τῶν δυνατῶν, ἐὰν ἐμεῖς δὲν μποροῦμε νὰ τὶς ἀποφύγουμε καὶ τὶς δύο, ἐξαιτίας τῆς ἀσθένειάς μας, ἂς ἔχουμε τουλάχιστο τὴν παρρησία τῆς ἱλαρότητας, προσέχοντας νὰ μὴ δώσουμε ἀπὸ αὐτὴ στὸν ἀδελφὸ ἀφορμὴ γιὰ σκάνδαλο. Διότι ἐκεῖνοι ποὺ ζοῦν μαζὶ μὲ ἀνθρώπους, ἐὰν δὲν εἶναι τέλειοι, δὲ μποροῦν ν' ἀπαλλαγοῦν ἀπὸ αὐτὴ τὴ δεύτερη παρρησία. Ἐὰν λοιπὸν ἀδυνατοῦμε νὰ τὴν ἀποφύγουμε, ἂς μᾶς εἶναι πρὸς οἰκοδομὴ καὶ ὄχι γιὰ σκάνδαλο, μάλιστα ὅταν φροντίσουμε νὰ συντομεύσουμε καὶ τὴν ὁμιλία μας· διότι δὲν ὠφελεῖ πολὺ ἡ μακρολογία, κι ἂν ἀκόμα φαίνεται ὅτι δὲν ἔχει τίποτε ἄτοπο.

Ὡς πρὸς τὸ γέλιο, ἔχει τὴν ἴδια σημασία· διότι εἶναι γέννημα τῆς παρρησίας. Ἐὰν ἔχει κανεὶς παρρησία αἰσχρολογίας εἶναι φανερὸ ὅτι ἔχει καὶ αἰσχρὸ γέλιο· ἐὰν πάλι ἔχει παρρησία

26. Α' Κορ. 3,2.

τος, ἐκ τούτου δηλονότι καὶ γέλωτα ἔχει ἱλαρόν. Καὶ καθὼς εἴρηται περὶ τῆς παρρησίας, ὅτι οὐκ ὠφελεῖ τὸ κεχρῆσθαι αὐτῇ, οὕτω καὶ ἐν τῷ γέλωτι αὐτῆς, οὐ χρὴ ἐγχρονίζειν οὐδὲ ἐκχεῖσθαι, ἀλλὰ ἄγχειν τὸν λογισμὸν μετὰ σεμνότητος διεξελθεῖν αὐτόν· καὶ γὰρ οἱ ἐκχεόμενοι εἰς αὐτόν, μαθέτωσαν, ὅτι καὶ εἰς πορνείαν ἐμπίπτουσιν ἅπαντες.

ΥΝΘ΄

Ἐρώτησις

Παρακαλῶ σε, πάτερ, ἵνα μοι εἴπῃς, ποταπή ἐστιν ἡ πρέπουσα ἱλαρότης, καὶ πῶς δεῖ τὸν ἁμαρτωλὸν αὐτῇ κεχρῆσθαι, πρὸς τὸ μὴ παρεξελθεῖν τὰ ἴδια μέτρα;

Ἀπόκρισις

Οἱ μὲν τέλειοι τελείως προσέχουσιν ἑαυτοῖς, κατὰ τὸν τεχνίτην τὸν ἐπιστάμενον τελείως τὴν τέχνην αὐτοῦ· ἐὰν γὰρ συμβῇ αὐτὸν συντυχίαν ποιῆσαι, ὡς ἐργάζεται, πρός τινας, οὐ κωλύει ἡ ἐκείνων ὁμιλία τὸ συναρμόσαι τὰ ἐπιτήδεια τῆς τέχνης· ἀλλ' ἀεὶ μὲν λαλεῖ μετὰ τῶν παρόντων, ὅλος δὲ ὁ νοῦς αὐτοῦ εἰς τὴν προκειμένην τέχνην ῥέπει. Οὕτως ὀφείλει ὁ συντυγχάνων τισίν, ἱλαρὸν μὲν δεικνύειν τὸ πρόσωπον καὶ τὸν λόγον, ἔχειν δὲ ἔσωθεν τὸν λογισμὸν στενάζοντα· καὶ γὰρ περὶ τούτου ἐγράφη «ὅτι καὶ ὁ στεναγμὸς τῆς καρδίας μου ἐνώπιόν σού ἐστι διὰ παντός». Ὥσπερ δὲ ὁ ἄτεχνος τεχνίτης, ἐὰν ἐργαζόμενος συντυγχάνῃ, κινδυνεύει ἀφανίσαι τὴν τέχνην, οὕτω καὶ ὁ τῇ ἱλαρότητι χρώμενος. Χρῄζει οὖν ὁ τοιοῦτος μεγάλης ἀσφαλείας προσέχειν τοῖς ἑαυτοῦ λόγοις καὶ τῇ τῆς ὄψεως ἱλαρότητι, μήπως ἐξέλθῃ παντελῶς τῆς τοῦ πένθους ὁδοῦ.

Ὁ οὖν τοιοῦτος μέλλων συντυχίαν ποιεῖν, ὀφείλει ἐρωτᾶν

ἱλαρότητας, εἶναι φανερὸ ὅτι ἐξαιτίας αὐτῆς ἔχει καὶ ἱλαρὸ γέλιο. Καὶ ὅπως ἔχει λεχθεῖ γιὰ τὴν παρρησία, ὅτι δὲν ὠφελεῖ τὸ νὰ τὴν χρησιμοποιεῖ κανείς, ἔτσι καὶ στὸ γέλιο αὐτῆς, δὲν πρέπει νὰ χρονοτριβεῖ σ' αὐτὸ οὔτε νὰ διαχέεται, ἀλλὰ νὰ πιέζει τὸν λογισμὸ νὰ τὸ ξεπεράσει μὲ σεμνότητα· διότι ὅλοι ἐκεῖνοι ποὺ ξεσποῦν σ' αὐτό, ἂς μάθουν ὅτι πέφτουν σὲ πορνεία.

459

Ἐρώτηση

Σὲ παρακαλῶ, πάτερ, νὰ μοῦ πεῖς, τί λογῆς εἶναι ἡ πρέπουσα ἱλαρότητα, καὶ πῶς πρέπει νὰ τὴν ἔχει ὁ ἁμαρτωλός, γιὰ νὰ μὴ ξεπεράσει τὰ μέτρα του;

Ἀπόκριση

Οἱ τέλειοι προσέχουν τέλεια τοὺς ἑαυτούς τους, σύμφωνα μὲ τὸν τεχνίτη ποὺ γνωρίζει τέλεια τὴν τέχνη του· διότι, ἐὰν τοῦ συμβεῖ νὰ συναντηθεῖ μὲ κάποιους ὅταν ἐγάζεται, ἡ ὁμιλία μ' ἐκείνους δὲν τὸν ἐμποδίζει νὰ συναρμόζει τὰ ἐπιτήδεια τῆς τέχνης, ἀλλὰ διαρκῶς ὁμιλεῖ μὲ τοὺς παρόντες, ὅλος ὅμως ὁ νοῦς του κλίνει πρὸς τὴν τέχνη ποὺ ἀσκεῖ. Ἔτσι ὀφείλει αὐτὸς ποὺ συναντᾶ κάποιους, νὰ δείχνει ἱλαρὸ τὸ πρόσωπο καὶ τὸν λόγο, καὶ νὰ ἔχει μέσα του τὸν λογισμὸ νὰ στενάζει· διότι γι' αὐτὸ γράφηκε, «καὶ ὁ στεναγμὸς τῆς καρδιᾶς μου εἶναι διαρκῶς ἐνώπιόν σου»[27]. Ὅπως ἀκριβῶς ὁ ἄπειρος τεχνίτης, ἐὰν συναντήσει κάποιον ὅταν ἐργάζεται, κινδυνεύει νὰ ἀφανίσει τὴν τέχνη, ἔτσι καὶ αὐτὸς ποὺ ἔχει τὴν ἱλαρότητα. Χρειάζεται λοιπὸν αὐτὸς μεγάλη ἀσφάλεια, γιὰ νὰ προσέχει τοὺς λόγους του καὶ τὴν ἱλαρότητα τῆς ὄψεως, μήπως ἐξέλθει ἐντελῶς ἀπὸ τὸν δρόμο τοῦ πένθους.

Ὁ τέτοιος ἄνθρωπος λοιπόν, ὅταν πρόκειται νὰ συναντηθεῖ

27. Ψαλμ. 37,10.

τὸν λογισμόν, πῶς δεῖ ποιεῖν, καὶ οὕτως ἑτοιμάζειν ἑαυτόν. Γέγραπται γάρ, «ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην»· τὸ δὲ ἑτοιμάσαι ἑαυτὸν τοῦτό ἐστι, τὸ διακρίνειν τὰ πρόσωπα διὰ ποίαν αἰτίαν θέλουσιν ἡμῖν συντυχεῖν· καὶ κατὰ τὸν σκοπὸν τοῦ ἐρχομένου ἑτοιμάσαι τὸν λογισμὸν ἐν φόβῳ Θεοῦ. Εἰ μὲν ἕνεκεν ἀσπασμοῦ γίνεται ἡ συντυχία, ἵνα χρήσηται ταύτῃ μετὰ χάριτος ἐν τοῖς ἁρμόττουσιν αὐτῇ λόγοις· εἰ δὲ πατέρων ἐστὶν ὑποδοχή, γενέσθω μετὰ χαρᾶς κατὰ τὸν Ἀβραάμ, νίψαντα τοὺς πόδας τοῦ Δεσπότου καὶ τῶν ἀγγέλων καὶ δεξάμενον αὐτοὺς μετὰ παρακλητικῶν λόγων· τὴν γὰρ φανέρωσιν τῆς ἱλαρότητος ἐν ἑκάστῳ δεικνύει ἡμῖν ἡ εὐκαιρία τῶν πραγμάτων.

Ὅταν γὰρ τυχὸν προτρεπώμεθα τοὺς ἐρχομένους εἰς τὸ λαβεῖν τι ἢ βρώσιμον ἢ πόσιμον, μετὰ ἱλαρότητος τοῦτο ποιήσωμεν, συντομίζοντες δὲ αὐτὴν διὰ τὴν σύγχυσιν τοῦ λογισμοῦ.

ΥΞ'

Ἐρώτησις

Τίς ὁ κενόδοξος καὶ τίς ὁ ὑπερήφανος; καὶ πῶς ἔρχεταί τις εἰς ὑπερηφανίαν;

Ἀπόκρισις

Ἐκ τοῦ θέλειν τινὰ τὴν ἀνθρωπαρέσκειν, ἔρχεται εἰς τὴν κενοδοξίαν· αὐξανομένης δὲ αὐτῆς ἔρχεται ἡ ὑπερηφανία.

Συγχώρησον, ἀδελφέ, καὶ εὔχου ὑπὲρ ἡμῶν.

ΥΞΑ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν μέγαν Γέροντα.

---

28. Ψαλμ. 118,60.

μὲ κάποιον, ὀφείλει νὰ ἐρωτᾶ τὸν λογισμό, 'τί πρέπει νὰ κάνει' καὶ ἔτσι νὰ ἑτοιμάζει τὸν ἑαυτό του. Διότι ἔχει γραφεῖ, «ἑτοιμάσθηκα καὶ δὲν ταράχθηκα»[28]· καὶ τὸ νὰ ἑτοιμάσει τὸν ἑαυτό του, σημαίνει νὰ διακρίνει γιὰ ποιά αἰτία θέλουν τὰ πρόσωπα νὰ μᾶς συναντήσουν· καὶ νὰ ἑτοιμάσει τὸν λογισμὸ μὲ φόβο Θεοῦ, σύμφωνα μὲ τὸν σκοπὸ αὐτοῦ ποὺ ἔρχεται. Ἐὰν λοιπὸν ἡ συνάντηση γίνεται γιὰ ἀσπασμό, νὰ τὴν ἀντιμετωπίζει χαριτωμένα μὲ τοὺς λόγους ποὺ τῆς ἁρμόζουν· ἐὰν ὅμως πρόκειται γιὰ ὑποδοχὴ πατέρων, νὰ γίνει μὲ χαρὰ καὶ σύμφωνα μὲ τὸν Ἀβραάμ, ποὺ ἔνιψε τὰ πόδια τοῦ Δεσπότη καὶ τῶν ἀγγέλων καὶ τοὺς δέχθηκε μὲ παρακλητικοὺς λόγους· διότι ἡ εὐκαιρία τῶν πραγμάτων μᾶς δείχνει τὴ φανέρωση τῆς ἱλαρότητας στὸν καθένα.

Ὅταν λοιπὸν συμβαίνει νὰ προτρέπουμε αὐτοὺς ποὺ ἔρχονται νὰ πάρουν κάτι βρώσιμο ἢ πόσιμο, νὰ τὸ κάνουμε μὲ ἱλαρότητα, ἀλλὰ συντομεύοντάς την, πρὸς ἀποφυγὴ συγχύσεως τοῦ λογισμοῦ.

460

Ἐρώτηση

Ποιός εἶναι ὁ κενόδοξος καὶ ποιός ὁ ὑπερήφανος; Καὶ πῶς φθάνει κανεὶς στὴν ὑπερηφάνεια;

Ἀπόκριση

Μὲ τὸ νὰ θέλει κάποιος τὴν ἀνθρωπαρέσκεια, ἔρχεται στὴν κενοδοξία· καὶ ὅταν αὐτὴ αὐξάνεται, ἔρχεται ἡ ὑπερηφάνεια.

Συγχώρεσέ με, ἀδελφέ, καὶ προσευχήσου γιὰ μᾶς.

461

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν μεγάλο Γέροντα.

Εἰπέ μοι, πάτερ, εἰ ἡ κατάνυξις ἣν δοκῶ ἔχειν, ἀληθής ἐστι καὶ εἰ ὀφείλω κατὰ μόνας ἐνταῦθα διάγειν· καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ὅτι ὀχλοῦμαι ὑπὸ σωματικοῦ πολέμου.

Ἀπόκρισις

Ἀδελφέ, ὁ νῦν κλαυθμὸς καὶ ἡ κατάνυξις οὐκ ἔστιν ἀληθής, ἀλλ' ὑπάγει καὶ ἔρχεται. Ὁ γὰρ ἀληθὴς κλαυθμός, ὁ μετὰ κατανύξεως, δοῦλος γίνεται τοῦ ἀνθρώπου, ἀχωρίστως ὑποτεταγμένος, καὶ τοῦ ἔχοντος αὐτόν, πόλεμος οὐ περιγίνεται, ἀλλὰ καὶ τὰ πρῶτα πταίσματα ἐξαλείφει καὶ ἐκπλύνει τὰ σπιλώματα· καὶ διηνεκῶς ὀνόματι Θεοῦ φυλάττει τὸν ἄνθρωπον τὸν κτησάμενον αὐτήν· καὶ ἐξορίζει τὸν γέλωτα καὶ τὸν μετεωρισμὸν καὶ κρατεῖ πένθος ἀδιάλειπτον· θυρεὸς γάρ ἐστιν, ἀποστρέφων πάντα τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου. Ὁ ἔχων αὐτὸν οὐ πλήσσεται ὑπὸ πολέμου τὸ σύνολον· κἂν μετὰ ἀνθρώπων ᾖ, κἂν μετὰ πορνῶν γυναικῶν μεθ' ἡμῶν ἐστι καὶ πολεμεῖ.

Τὸ σημεῖον οὖν τῆς ἀσθενείας καὶ τῆς γενναιότητος ἔδειξά σοι. Καὶ μὴ νομίσῃς ὅτι οὐκ ἠδύνατο ὁ Θεὸς κουφίσαι ἀπὸ σοῦ τὸν πόλεμον· ἠδύνατο μὲν γάρ, μάλιστα διὰ τοὺς ὑπερευχομένους σου ἁγίους· ἀλλ' ἀγαπῶν σε, θέλει σε διὰ πολέμων καὶ γυμνασίων πολλῶν παιδευθῆναι, ἵνα ἔλθῃς εἰς τὰ μέτρα τῆς εὐδοκιμήσεως· οὐκ ἔρχῃ δὲ εἰς ταῦτα, ἐὰν μὴ φυλάξῃς πάντα τὰ ἐνταλθέντα σοι διὰ τῶν ἐμῶν συλλαβῶν τοῦ κενοδόξου διδασκάλου.

Περὶ δὲ τοῦ εἶναι κατὰ μόνας, τοῦτο ἱκανότης ἐστὶ καὶ ὅτε ἔρχεταί σοι, ἀπ' ἐμαυτοῦ πέμπω καὶ λέγω σοι. Ἔργασαι, τέκνον, τέως, ὡς εἶπον σοι, καὶ πιστεύω ὅτι προκόψαι ἔχεις ἐν Χριστῷ· μὴ φοβοῦ.

Εἴη ὁ Κύριος μετὰ σοῦ. Ἀμήν.

ΥΞΒ'

Τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.

Πές μου, πάτερ, ἐὰν εἶναι ἀληθινὴ ἡ κατάνυξη τὴν ὁποία ἔχω καὶ ἐὰν ὀφείλω νὰ ζῶ μόνος μου ἐδῶ· καὶ προσευχήσου γιὰ μένα, διότι ἐνοχλοῦμαι ἀπὸ σωματικὸ πόλεμο.

Ἀπόκριση

Ἀδελφέ, ὁ τωρινὸς κλαυθμὸς καὶ ἡ κατάνυξη δὲν εἶναι ἀληθινή, ἀλλὰ πηγαίνει καὶ ἔρχεται. Διότι ὁ ἀληθινὸς κλαυθμός, αὐτὸς ποὺ γίνεται μὲ κατάνυξη, γίνεται δοῦλος τοῦ ἀνθρώπου, ὑποταγμένος ἀχώριστα, καὶ δὲν γίνεται πόλεμος σ' αὐτὸν ποὺ τὸν ἔχει ἀλλὰ καὶ ἐξαλείφει τὰ πρῶτα πταίσματα καὶ ξεπλένει τὰ σπιλώματα· φυλάγει συνεχῶς στὸ ὄνομα τοῦ Θεοῦ τὸν ἄνθρωπο ποὺ τὴν ἀπέκτησε, ἐξορίζει τὸ γέλιο καὶ τὸν μετεωρισμὸ καὶ κρατεῖ ἀδιάλειπτο πένθος· διότι εἶναι ἀσπίδα ποὺ ἀποστρέφει ὅλα τὰ πυρωμένα βέλη τοῦ διαβόλου. Αὐτὸς ποὺ τὸν ἔχει δὲν πλήσσεται καθόλου ἀπὸ πόλεμο· κι ἂν ἀκόμα εἶναι μὲ ἀνθρώπους, κι ἂν ἀκόμα εἶναι μὲ πόρνες γυναῖκες, εἶναι μαζί μας καὶ πολεμεῖ.

Σοῦ ἔδειξα λοιπὸν τὸ σημάδι τῆς ἀσθένειας καὶ τῆς γενναιότητας. Μὴ νομίσεις ὅτι δὲ θὰ μποροῦσε ὁ Θεὸς νὰ σὲ ἀνακουφίσει ἀπὸ τὸν πόλεμο· διότι θὰ μποροῦσε, μάλιστα ἐξαιτίας τῶν ἁγίων ποὺ προσεύχονται γιὰ σένα, ἀλλὰ ἐπειδὴ σὲ ἀγαπᾶ, θέλει νὰ παιδευθεῖς μὲ πολλοὺς πολέμους καὶ γυμνάσια, γιὰ νὰ φθάσεις στὰ μέτρα τῆς εὐδοκιμήσεως. Καὶ δὲν θὰ φθάσεις σ' αὐτά, ἐὰν δὲν φυλαξεις ὅλα ὅσα διατάχθηκες μὲ τὰ λόγια ἐμοῦ τοῦ κενόδοξου διδασκάλου.

Σχετικὰ μὲ τὸ νὰ εἶναι κανεὶς μόνος του, αὐτὸ εἶναι ἱκανότητα, καὶ ὅταν τὴν ἀποκτήσεις, ἀπὸ μόνος μου θὰ στείλω καὶ θὰ σοῦ πῶ. Ἐργάσου, τέκνο, μέχρι τότε, ὅπως σοῦ εἶπα, καὶ πιστεύω ὅτι μπορεῖς νὰ προκόψεις μὲ τὴ βοήθεια τοῦ Χριστοῦ· μὴ φοβᾶσαι.

Εἴθε νὰ εἶναι ὁ Κύριος μαζί σου. Γένοιτο.

462

Τοῦ ἰδίου πρὸν τὸν ἄλλο γέροντα.

Παρακαλῶ σε, κύριε ἀββᾶ, ἵνα εὔξῃ ὑπὲρ ἐμοῦ, ὅπως δώῃ μοι ὁ Κύριος μικρὰν ταπείνωσιν· καὶ ἐπειδὴ λέγουσιν οἱ πατέρες, ὅτι 'ἐὰν μή τις ἐκκόψῃ τὴν ρίζαν τοῦ πάθους, πάλιν καιρῷ εἰς αὐτὸ ἐμπίπτει', πῶς ἐκκόπτει τις τὴν ρίζαν τοῦ πάθους καὶ τῆς γαστριμαργίας καὶ τῆς φιλαργυρίας; Καὶ ἐπειδὴ εἶπέ μοι ὁ μέγας Γέρων, ὅτι 'ὁ νῦν κλαυθμὸς οὐκ ἔστιν ἀληθής, ἀλλ' ὑπάγει καὶ ἔρχεται', ἀπὸ ποίας διαθέσεως ἔρχεταί μοι τοῦτο; καὶ εἰ ὀφείλω βιάσασθαι ἐμαυτὸν εἰς αὐτὸ ἢ ἀφεῖναι ἕως ἔλθῃ ἡ ἀληθινὴ κατάνυξις.

Ἀπόκρισις

Ἀδελφέ, δίδωσιν ἡμῖν ὁ Θεὸς τὴν ταπείνωσιν καὶ ὠθοῦμεν αὐτήν. Καὶ πάλιν λέγομεν, εὖξαι ἵνα δώῃ ἡμῖν ὁ Θεὸς τὴν ταπείνωσιν'. Ἡ ταπείνωσίς ἐστι τὸ κόψαι ἐν πᾶσι τὸ ἴδιον θέλημα καὶ ἀμεριμνῆσαι ἀπὸ πάντων.

Περὶ δὲ τοῦ κόψαι τὴν ρίζαν, ὡς εἶπας, τῶν παθῶν, διὰ τοῦ κόψαι τὸ θέλημα καὶ θλῖψαι ἑαυτὸν κατὰ τὸ ἐγχωροῦν καὶ βασανίσαι τὰ αἰσθητήρια φυλάξαι τὴν τάξιν αὐτῶν εἰς τὸ μὴ χρήσασθαι κακῶς, κόπτεται ἡ ρίζα οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν λοιπῶν.

Τὸ δὲ ἀπελθεῖν σε καὶ ἐξελθεῖν τὸν νῦν κλαυθμὸν τὸν μὴ ἀληθινόν, διὰ τοῦ χαυνοῦσθαι ἅπαξ τὸν λογισμὸν καὶ θερμανθῆναι γίνεται. Ὅταν οὖν μείνῃ, ἡ θερμότης γίνεται μεγάλη καὶ μόνιμος ἡ κατάνυξις, καὶ ταύτῃ ἕπεται ὁ ἀληθινὸς κλαυθμός, περὶ οὗ ὀφείλεις φροντίσαι βιαζόμενος σεαυτόν, ἵνα ἔλθῃ σοι.

Ἀδελφέ, μὴ καταφρονήσῃς φυλάξαι τοὺς λόγους καὶ τὰς ἐντολὰς τοῦ γέροντος καὶ σώζῃ· ἐφλυάρησά σοι κἀγώ, ἀδελφέ, ἀλλ' οὐκ ἀπ' ἐργασίας, οὐδ' ἀπὸ πνεύματος· πιστεύω δὲ ὅτι, ὅσα σοι εἶπεν ὁ γέρων καὶ λέγει, ἀπὸ πράξεως τῆς πρότερον λαλεῖ καὶ ἀπὸ ἁγίου Πνεύματός ἐστιν. Ὅμως τὸ συνειδὸς μαρ-

Σὲ παρακαλῶ, κύριε ἀββᾶ, νὰ προσευχηθεῖς γιὰ μένα, γιὰ νὰ μοῦ δώσει ὁ Κύριος μικρὴ ταπείνωση. Ἐπειδὴ λέγουν οἱ πατέρες, ὅτι 'ἐὰν δὲν κόψει κανεὶς τὴ ρίζα τοῦ πάθους, πάλι μὲ τὸν καιρὸ πέφτει σ' αὐτό', πῶς κόβει κανεὶς τὴ ρίζα τοῦ πάθους καὶ τῆς γαστριμαργίας καὶ τῆς φιλαργυρίας; Καὶ ἐπειδὴ ὁ μεγάλος Γέροντας μοῦ εἶπε, ὅτι 'ὁ τωρινὸς κλαυθμὸς δὲν εἶναι ἀληθινός, ἀλλὰ πηγαίνει καὶ ἔρχεται', ἀπὸ ποιά διάθεση μοῦ ἔρχεται αὐτό; καὶ ἂν πρέπει νὰ πιέσω τὸν ἑαυτό μου σ' αὐτὸν ἢ νὰ τὸν ἀφήσω, ὥς ποὺ νὰ ἔλθει ἡ ἀληθινὴ κατάνυξη.

Ἀπόκριση

Ἀδελφέ, ὁ Θεὸς μᾶς δίνει τὴν ταπείνωση καὶ τὴν διώχνουμε. Καὶ πάλι λέμε, 'προσευχήσου γιὰ νὰ μᾶς δώσει ὁ Θεὸς ταπείνωση'. Ταπείνωση εἶναι τὸ νὰ κόψεις σὲ ὅλα τὸ θέλημά σου καὶ νὰ ἀμεριμνήσεις ἀπὸ ὅλα.

Ὡς πρὸς τὴν ἀποκοπὴ τῆς ρίζας τῶν παθῶν, ὅπως εἶπες, σοῦ λέγω αὐτό· κόβοντας τὸ θέλημα καὶ πιέζοντας τὸν ἑαυτό σου κατὰ τὸ δυνατὸ καὶ βασανίζοντας τὰ αἰσθητήρια γιὰ νὰ φυλάξουν τὴν τάξη τους, ὥστε νὰ μὴ χρησιμοποιοῦνται κακῶς, κόβεται ἡ ρίζα ὄχι μόνο αὐτῶν, ἀλλὰ καὶ τῶν ὑπολοίπων.

Ἡ ἀπομάκρυνση πάλι ἀπὸ σένα καὶ ἡ ἔξοδος τοῦ τωρινοῦ κλαυθμοῦ, ποὺ δὲν εἶναι ἀληθινός, γίνεται μὲ τὴ χαύνωση τοῦ λογισμοῦ καὶ τὴ θέρμη. Ὅταν λοιπὸν μείνει, ἡ θερμότητα γίνεται μεγάλη καὶ ἡ κατάνυξη μόνιμη καὶ αὐτὴν τὴν ἀκολουθεῖ ὁ ἀληθινὸς κλαυθμός, γιὰ τὸν ὁποῖο ὀφείλεις νὰ φροντίσεις, πιέζοντας τὸν ἑαυτό σου, γιὰ νὰ σοῦ ἔλθει.

Ἀδελφέ, μὴ παραλείψεις νὰ φυλάξεις τὰ λόγια καὶ τὶς ἐντολὲς τοῦ γέροντα καὶ θὰ σωθεῖς· σοῦ φλυάρησα καὶ ἐγώ, ἀδελφέ, ἀλλὰ ὄχι ἀπὸ τὴν πράξη οὔτε ἀπὸ τὸ Πνεῦμα. Πιστεύω ὅτι ὅσα σοῦ εἶπε καὶ σοῦ λέγει ὁ Γέροντας, σοῦ τὰ λέγει ἀπὸ προηγούμενη πράξη καὶ προέρχονται ἀπὸ τὸ ἅγιο Πνεῦμα. Ὅμως ἡ συνείδηση μοῦ μαρτυρεῖ, δὲ θέλω καθόλου νὰ σὲ πλα-

τυρεῖ μοι, ὅτι οὐ θέλω σε πλανῆσαι ὅλως ἐν οὐδενὶ πράγματι· διὰ τοῦτο πιστεύω, ὅτι οὔτε οἱ λόγοι μου βλάπτουσί σε, οὔτε αἱ συμβουλίαι μου. Οἶδε γὰρ ὅτι οὐ θέλω, ἀλλ' ἀντίψυχός σου πάντως ἐρωτῶντος, καὶ θέλοντος σωθῆναι, θέλω εἶναι, ἐὰν ἐνδυναμώσῃ με ὁ Κύριος.

Δῴη σοι ὁ Θεὸς βοήθειαν ἐκ Σιών, καὶ ἴδῃς τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ΥΞΓ'

Ἐρώτησις

Φιλόχριστός τις ἠρώτησε τὸν αὐτὸν γέροντα, εἰ χρὴ πολυπραγμονεῖν τὰ περὶ τῶν θείων μυστηρίων, καὶ εἰ προσιὼν αὐτοῖς ὁ ἁμαρτωλός, ὡς ἀνάξιος κατακρίνεται.

Ἀπόκρισις

Προσερχόμενος εἰς τὰ Ἅγια, πρόσχες, δεχόμενος τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ, ἔχειν ἀδιστάκτως, ὅτι ἀλήθειά ἐστι. Τὸ δὲ πῶς, μὴ πολυπραγμόνει, κατὰ τὸν εἰπόντα, «λάβετε φάγετε, τοῦτο γάρ μού ἐστι τὸ σῶμα καὶ τὸ αἷμα»· καὶ ταῦτα ἡμῖν ἔδωκεν εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ πιστεύων οὕτως, ἐλπίζομεν, ὅτι οὐ κατακρίνεται· ὁ δὲ μὴ πιστεύων, ἤδη ἔχει τὴν κατάκρισιν. Μὴ οὖν ὡς κρίνων σεαυτὸν ἁμαρτωλὸν κωλύσῃς προσελθεῖν, ἀλλ' ἔχων ὅτι ὁ προσερχόμενος τῷ Σωτῆρι ἁμαρτωλὸς ἀξιοῦται ἀφέσεως ἁμαρτιῶν, καθὼς εἰς τὴν Γραφὴν εὑρίσκομεν τοὺς προσελθόντας αὐτῷ μετὰ πίστεως καὶ ἀκούσαντας τῆς θείας φωνῆς, ὅτι «ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου αἱ πολλαί». Εἰ οὖν ἄξιος ἦν προσελθεῖν αὐτῷ, ἁμαρτίας

νήσω σὲ κανένα πρᾶγμα· γι' αὐτὸ πιστεύω ὅτι οὔτε τὰ λόγια μου, οὔτε οἱ συμβουλές μου σὲ βλάπτουν. Διότι γνωρίζει ὅτι δὲν θέλω τίποτε ἄλλο, παρὰ νὰ εἶμαι ἀντίψυχός σου, ὅταν ἐρωτᾶς καὶ θέλεις νὰ σωθεῖς, ἂν μὲ ἐνδυναμώσει ὁ Κύριος.

Εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει βοήθεια ἀπὸ τὴν Σιὼν καὶ νὰ δεῖς τὰ ἀγαθὰ τῆς Ἰερουσαλὴμ ὅλες τὶς ἡμέρες τῆς ζωῆς σου.

Προσευχήσου γιὰ μένα, ἀδελφέ.

463

Ἐρώτηση

Κάποιος φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα, ἐὰν πρέπει νὰ πολυεξετάζει τὰ σχετικὰ μὲ τὰ θεῖα μυστήρια· καὶ ἐὰν ὁ ἁμαρτωλός, ὅταν προσέρχεται σ' αὐτά, κατακρίνεται ὡς ἀνάξιος.

Ἀπόκριση

Ὅταν προσέρχεσαι στὰ Ἅγια, πρόσεχε δεχόμενος τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ, καὶ πίστευε ἀδίστακτα ὅτι εἶναι ἀλήθεια. Τὸ πῶς εἶναι ἀλήθεια, μὴ τὸ πολυεξετάζεις, σύμφωνα μ' ἐκεῖνον ποὺ εἶπε, «λάβετε, φάγετε, διότι αὐτὸ εἶναι τὸ σῶμα μου καὶ τὸ αἷμα μου»[29]· καὶ αὐτὰ μᾶς τὰ ἔδωσε γιὰ συγχώρηση ἁμαρτιῶν. Αὐτὸς ποὺ πιστεύει ἔτσι, ἐλπίζουμε ὅτι δὲν κατακρίνεται· αὐτὸς ποὺ δὲν πιστεύει, ἤδη ἔχει τὴν κατάκριση. Ἐπομένως νὰ μὴ ἐμποδίσεις τὸν ἑαυτό σου νὰ προσέλθει, ἐπειδὴ τὸν κρίνεις ὡς ἁμαρτωλό, ἀλλὰ νὰ γνωρίζεις ὅτι ὁ ἁμαρτωλὸς ποὺ προσέρχεται στὸ Σωτῆρα, ἀξιώνεται συγχώρηση ἁμαρτιῶν, ὅπως βρίσκουμε στὴ Γραφή, σχετικὰ μὲ ἐκείνους ποὺ προσῆλθαν σ' αὐτὸν μὲ πίστη καὶ ἄκουσαν τὴ θεία φωνή· «συγχωροῦνται οἱ πολλὲς ἁμαρτίες σου»[30]. Ἐὰν λοιπὸν

---

29. Ματθ. 26,27.
30. Λουκᾶ 5,20.

οὐκ εἶχε· ἐπειδὴ δὲ ἁμαρτωλὸς ἦν καὶ χρεώστης, ἔλαβε συγχώρησιν τῶν ὀφελημάτων. Καὶ αὐτοῦ ἄκουσον τοῦ Κυρίου λέγοντος· «οὐκ ἦλθον σῶσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς»· καὶ πάλιν, «οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες».

Ἔχε οὖν σεαυτὸν ἁμαρτωλὸν καὶ κακῶς ἔχοντα, καὶ πρόσελθε τῷ δυναμένῳ σῶσαι τὸν ἀπολωλότα.

ΥΞΔ'

Τοῦ αὐτοῦ ὁμοίως.

Δέσποτα, πῶς συνεχώρησεν ὁ Δεσπότης ἡμῶν Σωτὴρ ὁ Χριστὸς τῷ Ἰούδᾳ, προδότῃ ὄντι, μετασχεῖν τοῦ μυστικοῦ δείπνου; Ὁ γὰρ ἅγιος Ἰωάννης ἐν τῇ κατὰ Ματθαῖον ἑρμηνείᾳ λέγει· χρὴ τὸν ἀνάξιον εἴργεσθαι τῆς φρικτῆς τοῦ μυστηρίου τραπέζης. Καὶ ὁ ἅγιος δὲ Παῦλος κρίματι τὸν τοιοῦτον ὑπεύθυνον εἶναι ἀποφαίνεται· ὅπερ οὐκ ἐᾷ τινα, συνειδότα ἑαυτῷ ἁμαρτήματα, θαρρῆσαι ποτὲ τῷ τιμίῳ καὶ φρικτῷ προσελθεῖν μυστηρίῳ καὶ τῆς ἐντεῦθεν ζωῆς μετασχεῖν. Τί οὖν χρὴ ποιῆσαι; πάνυ γάρ με ἁμαρτωλὸν ὄντα, τὸ πρᾶγμα θορυβεῖ.

Ἀπόκρισις

Ἵνα δείξῃ ὁ Θεὸς τὴν μεγάλην αὐτοῦ φιλανθρωπίαν καὶ πῶς ἀνέχεται τοῦ ἀνθρώπου ἕως ὑστέρας ἀναπνοῆς, ὥστε μετανοῆσαι καὶ ζῆν αὐτόν, διὰ τοῦτο καὶ τοὺς πόδας αὐτοῦ ἔνιψε καὶ τῶν μυστηρίων ἀφῆκε μετασχεῖν, ἵνα

31. Ματθ. 9,13.

ἦταν ἄξιος νὰ προσέλθει σ' αὐτόν, δὲν θὰ εἶχε ἁμαρτίες· ἐπειδὴ ἦταν ἁμαρτωλὸς καὶ χρεώστης, πῆρε συγχώρηση τῶν ὀφελημάτων. Καὶ ἄκουσε καὶ τὸν ἴδιο τὸν Κύριο ποὺ λέγει· «δὲν ἦρθα νὰ σώσω δικαίους, ἀλλὰ ἁμαρτωλούς»[31]· καὶ πάλι, «δὲν ἔχουν ἀνάγκη ἰατροῦ οἱ ὑγιεῖς ἀλλὰ οἱ ἀσθενεῖς»[32].

Θεώρει λοιπὸν τὸν ἑαυτό σου ἁμαρτωλὸ καὶ ἀσθενῆ καὶ πρόσελθε σ' ἐκεῖνον ποὺ μπορεῖ νὰ σώσει αὐτὸν ποὺ βρίσκεται στὴν ἀπώλεια.

464

Τοῦ ἰδίου ὁμοίως.

Δέσποτα, πῶς ἐπέτρεψε ὁ Δεσπότης μας ὁ Σωτήρας Χριστὸς τὸν Ἰούδα, ἀφοῦ ἦταν προδότης, νὰ λάβει μέρος στὸ μυστικὸ δεῖπνο; Διότι ὁ ἅγιος Ἰωάννης[33] στὴν ἑρμηνεία τοῦ κατὰ Ματθαῖον εὐαγγελίου λέγει, ὅτι πρέπει ν' ἀποκλείεται ὁ ἀνάξιος ἀπὸ τὴ φρικτὴ τοῦ μυστηρίου Τράπεζα. Καὶ ὁ ἅγιος Παῦλος ἀποφαίνεται ὅτι τέτοιος ἄνθρωπος εἶναι ὑπεύθυνος κρίματος. Αὐτὸς ὁ λόγος δὲν ἀφήνει κάποιον ποὺ ἔχει συναίσθηση τῶν ἁμαρτιῶν του νὰ πάρει κάποτε θάρρος νὰ προσέλθει στὸ τίμιο καὶ φρικτὸ μυστήριο καὶ νὰ μετάσχει τῆς ἀπ' αὐτὸ προσφερόμενης ζωῆς. Τί πρέπει λοιπὸν νὰ κάνω; Διότι, ἐπειδὴ εἶμαι πολὺ ἁμαρτωλός, μὲ ἀνησυχεῖ πολὺ τὸ πρᾶγμα.

Ἀπόκριση

Γιὰ νὰ δείξει ὁ Θεὸς τὴ μεγάλη φιλανθρωπία του καὶ πῶς ἀνέχεται τὸν ἄνθρωπο μέχρι τελευταίας ἀναπνοῆς, ὥστε νὰ μετανοήσει καὶ νὰ ζήσει, γι' αὐτὸ ἔπλυνε καὶ τὰ πόδια του καὶ τὸν ἄφησε νὰ λάβει μέρος στὰ μυστήρια, γιὰ

---

32. Λουκᾶ 5,32.
33. Δηλαδὴ ὁ ἱερὸς Χρυσόστομος.

ἐπάρῃ αὐτοῦ πᾶσαν ἀπολογίαν. Καὶ τῶν ἀεὶ λεγόντων, ὅτι, 'εἰ ἀφῆκεν αὐτὸν ἀπολαῦσαι τούτων, οὐκ ἂν ἀπώλετο καὶ αὐτοκατάκριτος ἐγένετο'· καὶ ἐπληρώθη αὐτῷ τὸ τοῦ Ἀποστόλου λέγοντος, «εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω». Καὶ περὶ τῶν ἁμαρτωλῶν καὶ μὴ μετανοούντων τὸ αὐτό.

Τὸ δὲ κωλύσαι αὐτοὺς κατὰ τὸν ἅγιον Ἰωάννην διὰ μαθημάτων ἦν καὶ ἐπιτιμήσεως κρίσεως καὶ κολάσεως· οὐ γὰρ εἶπε ὠθῆσαι αὐτούς, οὐδὲ κόψαι ἀπὸ τῆς Ἐκκλησίας, οὐδὲ γὰρ ὁ Ἰησοῦς τοιοῦτον ἐποίησε τῷ Ἰούδᾳ. Ἐὰν δὲ μείνωσιν ἐν τοῖς αὐτοῖς καὶ μετὰ ἀναισχυντίας προσέρχωνται, αὐτοκατάκριτοι γίνονται, ἀποχωρίζοντες ἑαυτοὺς τῆς δόξης τοῦ Θεοῦ. Οἱ δὲ προσερχόμενοι τοῖς ἁγίοις μυστηρίοις ἁμαρτωλοί, ὡς τετραυματισμένοι καὶ δεόμενοι ἐλέους, τούτους ἰᾶται ὁ Κύριος καὶ ἀξίους ποιεῖ τῶν αὐτοῦ μυστηρίων, ὁ εἰπών, «οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν», καὶ πάλιν, «οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες».

Πάλιν δὲ λέγω, ὃ ἔλεγεν ὁ ἅγιος Ἰωάννης, κωλύσαι τοὺς ἁμαρτάνοντας τῶν ἁγίων μυστηρίων, τὸ διαμαρτύρασθαι αὐτοῖς ἐστι τὴν κατάκρισιν· καὶ γὰρ «ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει», καὶ ὁ τοιοῦτος ἐκβεβλημένος ἐστὶ τῆς Ἐκκλησίας τοῦ Θεοῦ· οὐδὲ γὰρ ἔλαβεν, εἰ μὴ κρίμα. Διὰ τοῦτο γὰρ καὶ εἶπε, 'μὴ κόψαι', ἵνα ἑαυτοῖς ἐκφέρωσι τὴν ἀπόφασιν· οὐδεὶς δὲ ὀφείλει εἰπεῖν ἑαυτὸν ἄξιον τῆς μεταλήψεως· ἀλλ' ὅτι ἀνάξιός εἰμι καὶ πιστεύω, ὅτι ἁγιάζομαι μεταλαμ-

---

34. Α' Κορ. 7,15.

νὰ ἀφαιρέσει ἀπὸ αὐτὸν κάθε ἀπολογία καθὼς καὶ ἐκείνων ποὺ πάντοτε λέγουν, ὅτι 'ἂν τὸν ἄφηνε νὰ τὰ ἀπολαύσει, δὲν θὰ χανόταν καὶ δὲ θὰ γινόταν αὐτοκατάκριτος'· καὶ πραγματοποιήθηκε σ' αὐτὸν ἐκεῖνο ποὺ λέγει ὁ Ἀπόστολος, «ἐὰν ὁ ἄπιστος χωρίζεται, ἂς χωρισθεῖ»[34]. Τὸ ἴδιο ἰσχύει καὶ γιὰ τοὺς ἁμαρτωλοὺς καὶ γι' αὐτοὺς ποὺ δὲν μετανοοῦν.

Ἡ ἐντολὴ πάλι νὰ τοὺς ἐμποδίζει κανεὶς σύμφωνα μὲ τὸν ἅγιο Ἰωάννη, ἐννοοῦσε μὲ διδασκαλία καὶ ἐπιτίμηση, σχετικὰ μὲ τὴν κρίση καὶ κόλαση· διότι δὲν εἶπε νὰ τοὺς ὠθήσεις, οὔτε νὰ τοὺς κόψεις ἀπὸ τὴν Ἐκκλησία, ἀφοῦ οὔτε ὁ Ἰησοῦς ἔκανε κάτι τέτοιο στὸν Ἰούδα. Ἐὰν ὅμως μείνουν στὰ ἴδια πταίσματα καὶ προσέρχονται μὲ ἀδιαντροπιά, γίνονται αὐτοκατάκριτοι, ἀποχωρίζοντας τοὺς ἑαυτούς τους ἀπὸ τὴ δόξα τοῦ Θεοῦ. Τοὺς ἁμαρτωλοὺς ποὺ προσέρχονται στὰ ἅγια μυστήρια σὰν τραυματισμένοι καὶ χρειαζόμενοι ἔλεος, τοὺς θεραπεύει ὁ Κύριος καὶ τοὺς κάνει ἄξιους τῶν μυστηρίων του, αὐτὸς ποὺ εἶπε, «δὲν ἦρθα νὰ καλέσω δικαίους, ἀλλὰ ἁμαρτωλοὺς σὲ μετάνοια»[35], καὶ πάλι, «δὲν ἔχουν ἀνάγκη ἰατροῦ οἱ ὑγιεῖς, ἀλλὰ οἱ ἄρρωστοι»[36].

Πάλι ὅμως λέγω ἐκεῖνο ποὺ ἔλεγε ὁ ἅγιος Ἰωάννης, ἡ ἐμπόδιση τῶν ἁμαρτωλῶν ἀπὸ τὰ ἅγια μυστήρια εἶναι ἡ μαρτυρία τῆς συνειδήσεώς τους ὅτι εἶναι ἀξιοκατάκριτοι· διότι «αὐτὸς ποὺ τρώγει καὶ πίνει ἀνάξια τρώγει καὶ πίνει κρίμα γιὰ τὸν ἑαυτό του»[37], καὶ αὐτὸς εἶναι ἀπομακρισμένος ἀπὸ τὴν Ἐκκλησία τοῦ Θεοῦ· διότι δὲν ἔλαβε τίποτε, παρὰ μόνο κρίμα. Καὶ γι' αὐτὸ εἶπε, νὰ μὴ τοὺς κόψουμε, γιὰ νὰ ἀποφασίσουν μόνοι τους· κανένας δὲν μπορεῖ νὰ πεῖ τὸν ἑαυτό του ἄξιο τῆς μεταλήψεως· ἀλλὰ ὅτι εἶμαι ἀνάξιος καὶ πιστεύω ὅτι ἁγιάζομαι ὅταν μεταλαμβάνω. Καὶ γίνεται σ' αὐτὸν ἔτσι σύμφωνα μὲ τὴν πίστη του

35. Ματθ. 9,13.
36. Λουκᾶ 5,31.
37. Α' Κορ. 11,29.

βάνων. Καὶ γίνεται αὐτῷ οὕτω κατὰ τὴν πίστιν αὐτοῦ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥΞΕ'

Ἐρώτησις

Τὸ εἰπεῖν τὸν Ἰούδαν, «ἥμαρτον παραδοὺς αἷμα ἀθῷον» καὶ τὸ ῥίψαι τὰ ἀργύρια, οὐ δοκεῖ μετανοίας εἶναι;

Ἀπόκρισις

Τότε μετάνοια ἦν τῷ Ἰούδᾳ, εἰ τῷ Κυρίῳ μετενόησε· φησὶ γάρ· «ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, ᾧ ἥμαρτες καὶ οὐκ ἄλλῳ». Αὐτὸς δὲ καὶ τὸ χεῖρον ἐποίησε· ἀπελθὼν δὲ ἀπώλεσεν ἑαυτὸν διὰ τῆς ἀνελπιστίας, καὶ διὰ τοῦτο οὐκ ἐδέχθη.

ΥΞS'

Ἐρώτησις

Δέσποτα, εἰπέ μοι, τί ἐστι 'Θεοῦ θέλημα' καὶ τί 'συγχώρησις' καὶ ὁποῖα τὰ ἐξ ἀμφοτέρων ἀποτελέσματα.

Ἀπόκρισις

Ὅταν ἔρχηταί σοι πρᾶγμα θλιβερόν, ἐρεύνησον, εἰ καταγινώσκει σου ὁ λογισμὸς ἔν τινι περὶ τοῦ πράγματος· καὶ ἐὰν μὴ εὕρῃς, πρὸς δοκιμὴν ἦλθέ σοι τὸ πρᾶγμα. Καὶ τοῦτό ἐστι τὸ 'κατὰ θέλημα Θεοῦ'. Ἐὰν δὲ εὕρῃς, τοῦτό ἐστι 'κατὰ συγχώρησιν' πρὸς παιδείαν· ὅμως καὶ τὰ δύο ὠφέλιμα τῷ ἀνθρώπῳ.

μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

465

Ἐρώτηση

Τὸ νὰ πεῖ ὁ Ἰούδας, «ἁμάρτησα, διότι παρέδωσα ἀθῶο αἷμα» καὶ τὸ νὰ ρίξει τὰ ἀργύρια, δὲ φαίνεται ὅτι εἶναι δεῖγμα μετάνοιας;

Ἀπόκριση

Τότε θὰ ἦταν μετάνοια γιὰ τὸν Ἰούδα, ἐὰν μετανοοῦσε στὸν Κύριο· διότι λέγει, «πήγαινε πρῶτα νὰ συμφιλιωθεῖς μὲ τὸν ἀδελφό σου στὸν ὁποῖο ἁμάρτησες καὶ ὄχι σὲ ἄλλον»[38]. Αὐτὸς ὅμως ἔκανε καὶ τὸ χειρότερο· ἀφοῦ ἔφυγε, κατέστρεψε τὸν ἑαυτό του μὲ τὴν ἀνελπιστία καὶ γι' αὐτὸ δὲν δέχθηκε.

466

Ἐρώτηση

Δέσποτα, πές μου, τί εἶναι θέλημα Θεοῦ καὶ τί παραχώρηση, καὶ ποιά τὰ ἀποτελέσματα καὶ τῶν δύο.

Ἀπόκριση

Ὅταν σοῦ συμβαίνει θλιβερὸ πρᾶγμα, ἐρεύνησε, ἐὰν σὲ κατακρίνει ὁ λογισμός σου ὡς πρὸς κάτι γιὰ τὸ πρᾶγμα αὐτό· καὶ ἐὰν δὲν βρεῖς, τὸ πρᾶγμα ἦρθε γιὰ δοκιμασία σου. Καὶ αὐτὸ εἶναι τὸ κατὰ θέλημα Θεοῦ. Ἐὰν ὅμως βρεῖς νὰ σὲ κατηγορεῖ, αὐτὸ εἶναι κατὰ παραχώρηση γιὰ παιδαγωγία· ὅμως καὶ τὰ δύο εἶναι ὠφέλιμα στὸν ἄνθρωπο.

---

38. Ματθ. 5,24.

ΥΞΖ'

Ἐρώτησις

Ἐπειδὴ καλόν ἐστιν, ὡς ἐδιδάξατε, τὸ ἀφιέναι τῷ Θεῷ τὸ θέλημα, ὅπερ φυλάττει τῷ ἀνθρώπῳ τὸ ἀτάραχον, ὁ δὲ κατ' ἐμὲ ἀσθενής, ἐὰν ἴδῃ πρᾶγμα μέλλον ἀπόλλυσθαι, ἢ ταράττεται ἢ μακροθυμῶν μεταμελεῖται ὡσαύτως, ἀπολέσας τὸ πρᾶγμα διὰ τῆς μακροθυμίας, ποῖον βέλτιον, καὶ πῶς χρὴ ἐλθεῖν εἰς διόρθωσιν, καὶ τί δεῖ λογίζεσθαι, ἵνα τις φύγῃ τὴν ταραχήν;

Ἀπόκρισις

Εἶπεν ὁ Κύριος· «χαίρετε ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις». Τῶν ποικίλων οὖν πειρασμῶν ἐστι καὶ οὗτος, εἰς ὃν ὀφείλει χαίρειν ὁ ἄνθρωπος. Ἐὰν δὲ ᾖ ἀσθενὴς καὶ μὴ δυνάμενος μακροθυμῆσαι χαίρων ἐπὶ τῇ ἀπωλείᾳ τοῦ πράγματος καὶ ῥίπτων τῷ θελήματι τοῦ Θεοῦ, πολεμῆσαι ὀφείλει πρῶτον πρὸς τὴν ταραχήν, λέγων ἑαυτῷ, 'πρόσχες μὴ ταραχθῇς. Ἐὰν δὲ ᾖ θέλημα Θεοῦ τὸ σωθῆναι τὸ πρᾶγμα, σώζεται'· καὶ εἴ τι ἀποβαίνει, δέξεται εὐχαρίστως. Οὐδὲν γὰρ ἀγαθὸν τῇ σπουδῇ ἡμῶν κατορθοῦται, ἀλλὰ τῇ δυνάμει καὶ τῷ θελήματι τοῦ Θεοῦ. Καὶ ὅμως ἀπαιτεῖ τὴν κατὰ Θεὸν σπουδὴν παρ' ἡμῶν ὁ Θεός, οὐ κατά τινα πανουργίαν ἢ ψεῦδος· ταῦτα γάρ εἰσι τοῦ πονηροῦ.

ΥΞΗ'

Ἐρώτησις

Ὅτε παρεμπίπτουσι πολλοὶ λογισμοὶ ῥυπαροὶ καὶ εὐλαβοῦμαι ἀναθέσθαι τινὶ ἐξ αὐτῶν, τί ποιήσω;

467

Ἐρώτηση

